Πυρὶ τὴν θείαν παρεικάζει φύσιν τὸ ἱερὸν Γράμμα, διά τοι τὸ παναλκὲς, καὶ τὸ παντὸς δύνασθαι καταθλεῖν εὐκόλως, ξύλοις καὶ πόαις ταῖς ἐν ἀγρῷ τὸν ἀπὸ γῆς ἄνθρωπον. Τοιγάρτοι φησὶ, ποτὲ μέν· *"Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν·"* ποτὲ δὲ αὖ· *"Ἄνθρωπος ὡσεὶ χόρτος· αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει."* Ἀλλ᾽ ὥσπερ ἐστὶν οὐ φορητὸν ἀκάνθαις τὸ πῦρ, οὕτω καὶ θεότης ἀνθρωπότητι. Πλὴν ἐν Χριστῷ συνέβη καὶ γέγονεν οἰστή. *"Κατῴκηκε γὰρ ἐν αὐτῷ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς,"* καθὰ καὶ ὁ σοφὸς μεμαρτύρηκε Παῦλος. Καὶ *"ὁ φῶς οἰκῶν ἀπρόσιτον,"* τουτέστι Θεὸς, τῷ ἐκ παρθένου ναῷ κατηυλίζετο. ... Ἐφείδετο τοίνυν τῆς ἀκάνθης τὸ πῦρ, καὶ οἰστὴ γέγονεν ἡ φλὸξ σμικρῷ καὶ ἀσθενεστάτῳ ξύλῳ. Κεχώρηκε γὰρ, ὡς ἔφην, θεότης ἀνθρωπότητι. Καὶ τοῦτο γέγονεν ἐν Χριστῷ τὸ μυστήριον. Κατῴκηκε δὲ καὶ ἐν ἡμῖν ὁ τοῦ Θεοῦ Λόγος, οὐ ποινὰς αἰτῶν, οὐ δίκας εἰσπραττόμενος, ἀλλὰ χρησταῖς καὶ ἡμεροτάταις περιαστράπτων προσβολαῖς.

PG 69, 413-416.

ا يلاد والتجسد (٤١)

للقديس ك لس الكب :

ا سيح ربطنا بواسطة نفسه مع ا أبيه

■❍✞❍■

[إن ا الكلمة قد أهبط نفسه إ الإخلاء
دون أن يضطره أحد إ ذلك،
بل شيئته ا اصة وحسب مسرة الآب
صار إنساناً،
وبينما هو تفظ اماً بصفات طبيعته ا اصة بلا نقصان ولا تغي ،
قد اقت لنفسه الناسوت سب التدب ،
فهو يعت ابناً واحداً من اثن ،
إذ قد اجتمعت وا دت معاً شخصه الواحد،
بطريقة لا توصف ولا تفحص، الطبيعتان الإ ية والبشرية،
لتكونا معاً وحدةً بطريقة لا كن تصوّرها...
فهو إله، وهو أيضاً بعينه وبآن واحد إنسان...
فلهذا السبب أيضاً هو يعت وسيطاً (ب ا والناس)،
لأن الاثن اللذَين كانا سب الطبيعة متباعدين جداً عن بعضهما،
إذ كانت تفصل بينهما هوةٌ بلا قياس،
أع اللاهوت والناسوت
قد أظهر ا تمع ومتحدين نفسه،
وبذلك ربطنا بواسطة نفسه مع ا أبيه].

ا وار الأول الثالوث الأقدس

Christ Has Joined Us Through Himself to God the Father

God the Word came down to the emptiness (cf. Phil 2:7) without being compelled to, but according to His own will and the pleasure of His Father, He became man. While completely preserving the attributes of His own nature without decrease or change, He assumed the human nature according to the divnine plan. He is considered One Son of twain, of both natures: the Divine and the human, as they were joined and united together in His one being in an indescribable and inexplicable manner to form one unit in an unimaginable way … For He is God and at the same time man.

For that reason He is also considered a Mediator (between God and men), because the two who were, according to nature, very much apart from each other, as an immeasurable chasm separated them, that is, the divine and the human, He revealed joined and united in Himself, thus binding us through Himself to God, His Father.

Dialogue 1 on the Trinity.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

Καθῆκεν ἑαυτὸν ὁ Θεὸς Λόγος εἰς κένωσιν, οὐχ ὑπό του πρὸς τοῦτο βεβιασμένος, ἀλλ᾽ εὐδοκίᾳ Πατρὸς κατ᾽ ἰδίαν βούλησιν, καὶ γέγονεν ἄνθρωπος, ἀλώβητον μὲν παντελῶς καὶ ἀπαραποίητον ἐν ἑαυτῷ τὸ τῆς ἰδίας φύσεως ἀνασῴζων ἀξίωμα, προσλαβὼν δὲ τὸ ἀνθρώπινον οἰκονομικῶς, καὶ εἷς ἐξ ἀμφοῖν νοούμενος Υἱός, συνδεδραμηκότων καὶ συνενεχθέντων εἰς ἓν φύσεως τε θείας καὶ ἀνθρωπίνης ἀφράστως τε καὶ ἀπορρήτως, καὶ ὡς οὐκ ἔστι νοεῖν εἰς ἑνότητα συντεθειμένων. ... Θεὸς γάρ ἐστιν ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός· ...

Μεσίτης ἄρα οὖν καὶ τῇδε νοεῖται τὰ πολὺ διῳκισμένα κατὰ τὴν φύσιν καὶ ἀμέτρητον ἔχοντα τὸ μεσολαβοῦν, τουτέστι θεότητά τε καὶ ἀνθρωπότητα, συνενεχθέντα τε καὶ ἡνωμένα δεικνύων ἐν ἑαυτῷ, καὶ συνείρων ἡμᾶς δι᾽ ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί.

PG 75, 692-693; Aubert 405.

للقديس أنبا مقار:

ميلاد ا سيح وميلادنا الروحي

■❍✞❍■

[هذا اليوم ولد الرب الذي هو حياة وخلاص البشر...
لقد كانت الطبيعة البشرية فيما قبل
مائتة بالبعد عن ا وغ مثمرة،
والنفس كانت عقيمة وعاقرة،
وأما الآن فقد قبلت الزرع السماوي
لتتمكن أن تثمر به ار الروح...
وأمّا هذا الزرع الإ ي فهو الكلمة
الذي حل والدة الإله مر ،
وهو ل كل النفوس ا ؤمنة،
وهكذا تولد ميلاداً روحيا هو ا لاص...
إنه هو جالس عن العظمة السموات،
وهو بعينه يدبر الذين على الأرض،
ويلازم يع قديسيه ويسكن معهم...
ا د لعظمته! ا د بته للبشر!
ا د لتدب ه الفائق من و جنسنا!
فلنطلب إذن ونؤمن أننا سنستقبله فينا،
ح إذا ما وجدناه ننعم بوجوده].

عظة ٥٢: ١و٣و٧ على عيد ا يلاد

The Birth of Christ and our Spiritual Birth

Today the Lord is born – the Lord who is the live and salvation of mankind. ...

Formerly, human nature was dead and barren by its isolation from God. The human soul was sterile and without fruit. But now it has received the Heavenly Seed to bear fruits of the Spirit. ... The Divine Seed is the Word which descended on Mary the Mother of God, and he also descends on all believing souls which are thus born a spiritual birth, namely, salvation.

He is in heaven, seated at the right hand of the Majesty, and Himself is ministering the things on earth, being ever with all the saints and dwelling with them. ...

Glory to His majesty. Glory to His love for mankind. Glory to His incomparable Providence for our race! Let us then ask and believe that we shall receive Him, so that having found Him, we may enjoy His presence.

Homily 52, 1, 3, 7.

****

ἐκ τοῦ ἁγίου Μακαρίου

Ταύτῃ τῇ ἡμέρᾳ ὁ Κύριος ἐγεννήθη, ἡ ζωὴ καὶ ἡ σωτηρία τῶν ἀνθρώπων·...

Νεκρὰ γὰρ ἦν ἡ ἀνθρωπίνη φύσις τὸ πρὶν ἀπὸ θεοῦ, ἄκαρπος· στεῖρα καὶ ἄγονος ἡ ψυχή. νῦν ἐξ οὐρανοῦ σπέρμα ἐδέξατο, ἵνα δυνηθῇ καρποὺς τοῦ πνεύματος ἐνεγκεῖν... Τὸ σπέρμα γὰρ τὸ θεϊκὸν ὁ λόγος, ὁ πεσὼν εἰς τὴν θεοτόκον Μαρίαν, εἰς πάσας τὰς πιστευούσας ψυχὰς πίπτει, καὶ οὕτως γεννῶνται ἐκ τοῦ πνευματικοῦ γεννήματος τῆς σωτηρίας. ...

Αὐτὸς γάρ ἐστιν ἐν οὐρανοῖς ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθεζόμενος, καὶ αὐτός ἐστι τὰ ἐπὶ τῆς γῆς διοικῶν καὶ πᾶσι τοῖς ἁγίοις συνὼν καὶ συνοικῶν· ...

Δόξα τῇ μεγαλειότητι αὐτοῦ· δόξα τῇ φιλανθρωπίᾳ· δόξα τῇ ἀνεικάστῳ προνοίᾳ αὐτοῦ περὶ τὸ γένος ἡμῶν. παρακαλέσωμεν οὖν καὶ ἡμεῖς καὶ πιστεύσωμεν δέξασθαι αὐτόν, ἵνα καὶ ἡμεῖς εὑρόντες αὐτὸν ἀπολαύσωμεν αὐτοῦ.

ΒΕΠ 42, 15-19.

للقديس أنبا مقار:

بركات ا يلاد

■❍✞❍■

[هذا اليوم ولد الرب الذي هو حياة وخلاص البشر.
اليوم ت مصا ة اللاهوت مع الناسوت
والناسوت مع اللاهوت،
اليوم ارتكضت ا ليقة كلها،
اليوم صار للناس طريق و ا ،
وصار طريق و النفس ...
لقد كمل زمان القيود وا بس والظلام الذي حكم به على آدم.
فاليوم جاءه الفداء وا رية وا صا ة
والشركة مع الروح والا اد با !
اليوم رفع العار من على جبينه،
وأُعطيت له دالة لينظر بوجه مكشوف فيتحد بالروح!
اليوم تستقبل العروس (البشرية) عريسها،
اليوم الا اد والشركة وا صا ة ب السمائي والأرضي ،
ذلك الا اد الذي هو بعينه الإله ا تأنس!
لقد لاق به أن يأ لابساً ا سد
ح يسترد الناس ويصا هم مع أبيه!]

عظة ٥٢: ١-٢ على عيد ا يلاد

The Blessings of the Nativity

Today the Lord is born, the Lord who is the life and salvation of mankind. Today Divinity is reconciled with humanity and humanity with Divinity. Today the whole creation leaps [for joy]... Today a way from mankind to God, and from God to the human soul, is opened …

The time for chains and bondage, and the darkness which fell on Adam, are over, for today redemption, freedom and reconciliation have come, together with fellowship with the Spirit and union with God! Today shame has been lifted from [Adam's] brow and he has been granted confidence before God, to look [at him] with an unveiled face and so have union with the Spirit. Today the Bride (humankind) has received her Bridegroom. Today has union, fellowship and reconciliation occurred between heavenly beings and earthly ones, that union which is the self-same Incarnate God! ...

It befitted him to come outfitted in the flesh that he might win back human beings and reconcile them to his Father.

Homily 52, 1-2

****

ἐκ τοῦ ἁγίου Μακαρίου

Ταύτῃ τῇ ἡμέρᾳ ὁ Κύριος ἐγεννήθη, ἡ ζωὴ καὶ ἡ σωτηρία τῶν ἀνθρώπων· σήμερον γέγονε καταλλαγὴ θεότητος πρὸς ἀνθρωπότητα καὶ ἀνθρωπότητος πρὸς θεότητα· σήμερον ἐσκίρτησε πᾶσα ἡ κτίσις. ... σήμερον ὁδὸς γέγονε πρὸς θεὸν τοῖς ἀνθρώποις καὶ θεοῦ ὁδὸς εἰς τὴν ψυχήν· ...

Ἐπληρώθη ὁ χρόνος τῶν δεσμῶν καὶ τῆς φυλακῆς καὶ τῆς ἐν τῷ σκότει καταδίκης τοῦ Ἀδάμ. Σήμερον αὐτῷ γέγονε λύτρωσις καὶ ἐλευθερία τῆς καταλλαγῆς καὶ ἡ κοινωνία πρὸς τὸ Πνεῦμα καὶ ἡ συνάφεια πρὸς τὸν Θεόν· σήμερον ἤρθη ἡ αἰσχύνη τοῦ προσώπου αὐτοῦ καὶ ἐδόθη αὐτῷ παρρησίᾳ ἀνακεκαλυμμένῳ προσώπῳ ἐνορᾶν καὶ κιρνᾶσθαι τῷ Πνεύματι· σήμερον ἀπολαμβάνει ἡ νύμφη τὸν ἑαυτῆς νυμφίον· σήμερον ἑνότης καὶ κοινωνία καὶ καταλλαγὴ τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων γέγονε, Θεὸς καὶ ἄνθρωπος.

Ἔπρεπε γὰρ αὐτῷ ἐνδυσαμένῳ τὸ σῶμα ἐλθεῖν καὶ ἐπιστρέψαι καὶ καταλλάξαι τοὺς ἀνθρώπους τῷ ἰδίῳ Πατρί.

SC 275, 112-114.

ا يلاد والتجسد (٤٤)

للقديس أنبا مقار:

كما حبلت به القديسة العذراء جسدياً

هكذا ملهـ قلوبنا

■❍✞❍■

[هؤلاء هم الذين قبلوا الفرح الذي قبلته مر
أن «الروح لّ عليك وقوة العليّ تظللك.» (لو ١:٣٥)
فكما أن ا زن أدرك حواء ونسلها حـ الآن،
هكذا الفرح أيضاً أدرك مر ونسلها حـ الآن.
فإنه مكتوب (بولس) الرسول:
«امتحنوا أنفسكم إن كان ا سيح فيكم،
أم لستم تعرفون أن ا سيح يسوع فيكم
إن تكونوا مرفوضـ ؟» (٢كو ١٣:٥)
وإشعياء يصرخ قائلاً: «من خوفك يا رب حبلنا و خضنا
وولدنا روح ا لاص.» (إش ٢٦:٨ حسب السبعينية)
وأيضاً مكتوب سفر ا امعة: «كمثل العظام بطن ا ُبلى،
هكذا طريق الروح.» (جا ١١:٥ حسب السبعينية)
فكما أن القديسة العذراء حبلت به با سد،
هكذا أيضاً الذين قبلوا نعمة الروح القدس،
ملونه قلو م سب قول الرسول:
«ليحل ا سيح بالإ ان قلوبكم.» (أف ٣:١٧)
وأيضاً: «لنا هذا الكـ (ا سيح) أوان خزفية
ليكون فضل القوة لا منا.» (٢كو ٤:٧).**]**

عظة ٢٨ من ا موعة الثالثة

As the Holy Virgin Bore Him Bodily, We bear Him in our Hearts

Those are who have received the joy which Mary had received – “the Holy Spirit will come upon you, and the power of the Most High will overshadow you” (Lk 1:35) – For as sorrow has overtaken Eve and her seed to this day, so has joy been the portion of Mary and her seed to this day .... For the Apostle writes, “Test yourselves [to see whether you have Christ in you]. Do you not realize that Jesus Christ is in you? — unless indeed you fail to meet the test!” (2Cor 13:5). Isaiah also cries, “We have conceived, O Lord, because of thy fear, and have been in pain, and have brought forth the spirit of salvation” (Is 26:18 LXX). It is also written in the Ecclesiastes, “As the bones in the womb of a pregnant woman, so is the way of the spirit” (Ecc 11:5 LXX).

Therefore, as the Holy Virgin bore him bodily, so do those who receive the gift of the Holy Spirit bear him in their hearts. Says the Apostle, “That Christ may dwell in your hearts through faith” (Eph 3:17); and also, “We have this treasure in earthen vessels, to show that the transcendent power belongs to God and not to us” (2Cor 4:7).

Spiritual Homilies, Collection III, Homily 28.

****

ἐκ τοῦ ἁγίου Μακαρίου

Οὗτοί εἰσιν οἱ καταλαβόντες τὴν χαρὰν ἣν κατέλαβε Μαριάμ· ὅτι *"πνεῦμα θεοῦ ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοί"*. ὡς γὰρ ἡ λύπη κατέβη ἐπὶ τὴν Εὔαν καὶ τῷ σπέρματι αὐτῆς ἕως τοῦ νῦν, οὕτω πάλιν κατέλαβεν ἡ χαρὰ τὴν Μαριὰμ καὶ τῷ σπέρματι αὐτῆς ἕως τοῦ νῦν. ... γέγραπται γὰρ ἐν τῷ ἀποστόλῳ· ὅτι *"δοκιμάσατε ἑαυτούς"*, εἰ ὁ *"Χριστὸς ἐν ὑμῖν ἐστιν"* ἢ οὐκ οἴδατε *"ὅτι Χριστὸς Ἰησοῦς ἐν ὑμῖν ἐστιν"*, *"εἰ μήτί"* ἄρα *"ἀδόκιμοί ἐστέ"* ... Ἡσαΐας γὰρ ἀναβοᾷ λέγων· *"ἀπὸ τοῦ φόβου σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας"* ... γέγραπται πάλιν παρὰ τῷ Ἐκκλησιαστῇ· ὅτι *"ὡς ὀστᾶ ἐν γαστρὶ τῆς κυοφορούσης"* οὕτως *"ἡ ὁδὸς τοῦ πνεύματος"*. ὥσπερ γὰρ αὕτη ἡ ἁγία παρθένος ἐκυοφόρησεν αὐτὸν ἐν σαρκί, οὕτω καὶ οἱ λαβόντες τὴν χάριν τοῦ ἁγίου πνεύματος κυοφοροῦσιν αὐτὸν ἐν τῇ καρδίᾳ αὐτῶν κατὰ τὸν λόγον τοῦ ἀποστόλου λέγοντος· τοῦ *"κατοικῆσαι τὸν Χριστὸν … διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν"*, … καὶ πάλιν· *"ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ καὶ μὴ ἐξ ἡμῶν"*.

TU 72, 161-163

للقديس أنبا مقار:

كما حل القديسة مر جسدياً،
هكذا ل فينا روحياً

■❍✞❍■

[لتعلم العذراء ا كيمة أنه ينبغي
أن تقتـ ا سيح نفسها كما اقتنته مر .
فكما كان أحشاء مر هكذا يكون قلبك،
وحينئذ كنك أن ترتل بفهم قائلاً:
« وفك يا رب حبلنا و خضنا
وولدنا روح ا لاص.» (إش٢٦: ١٨)]

عظة ٢٨: ٢ من ا موعة الثالثة

■❍✞❍■

وللقديس غريغوريوس النيسي

[إن ما جسدياً مر الطاهرة
حـ لى كل ملء اللاهوت جسدياً ا سيح بواسطة بتوليتها،
هذا أيضاً يتم كل نفس فظ البتولية الروحية سب اللوغوس.
غـ أن الرب لا عل حضوره بعد جسدياً، لأننا، كما يقول بولس
«لا نعرف ا سيح بعد حسب ا سد» (٢كو٥: ١٦)،
ولكنه يسكن فينا روحياً،
بل ويحضر أباه أيضاً معه كما يقول الإ يل (يو١٤: ٢٣).]

البتولية ٢: ٢

St. Macarius the Great

As He dwelt Bodily in Mary, so He dwells in us Spiritually

Let the wise virgin know that she must possess Christ in herself just as Mary possessed Him. For as He was in the womb of Mary so He should be in your heart. It is then that you can understandingly sing saying: “We have conceived, O Lord, because of thy fear, and have been in pain, and have brought forth the spirit of salvation” (Is 26:18 LXX).

Spiritual Homilies, Collection III, Homily 28,2.

St Gregory of Nyssa

What happened in the stainless Mary when the fulness of the Godhead which was in Christ shone out through her virginity, that happens in every soul that leads spiritually the virgin life according to the Logos. No longer indeed does the Master come with bodily presence; “we know Christ no longer according to the flesh”; but, spiritually, He dwells in us and brings His Father with Him, as the Gospel somewhere tells.

On Virginity II, 2

****

ἐκ τοῦ ἁγίου Μακαρίου

Γινωσκέτω οὖν ἡ φρονίμη παρθένος, ὅτι οὕτως ὀφείλει ἔχειν ἐν ἑαυτῇ τὸν Χριστὸν καθάπερ καὶ ἡ Μαρία, καὶ ὡς ἐκείνη ἐν τῇ γαστρί, σὺ ἐν τῇ καρδίᾳ, καὶ τότε δυνήσῃ συνετῶς ψάλλειν καὶ λέγειν· *Διά τὸν φόβον σου, κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας.*

SC 275, 112-114.

καὶ ἐκ τοῦ Ἁγίου Γρηγορίου τῆς Νύσσης

Ὅπερ γὰρ ἐν τῇ ἀμιάντῳ Μαρίᾳ γέγονε σωματικῶς, τοῦ πληρώματος τῆς θεότητος ἐν τῷ Χριστῷ διὰ τῆς παρθενίας ἐκλάμψαντος, τοῦτο καὶ ἐπὶ πάσης ψυχῆς κατὰ λόγον παρθενευούσης γίνεται, οὐκέτι σωματικὴν ποιουμένου τοῦ κυρίου τὴν παρουσίαν· Οὐ γὰρ γινώσκομεν ἔτι, φησί, κατὰ σάρκα Χριστόν, ἀλλὰ πνευματικῶς εἰσοικιζομένου καὶ τὸν πατέρα ἑαυτῷ συνεισάγοντος, καθώς φησί που τὸ εὐαγγέλιον.

SC 119, 268.

ا يلاد والتجسد (٤٦)

للقديس أنبا مقار:

غاية سد ابن ا

■❍✞❍■

[أريد أن أُعبر عن شيء دقيق وعميق،
على قدر ما أوتيت من قوة. فانصتوا بانتباه:
إن الإله اللا ائي، غ ا ُقترب إليه، غ ا خلوق،
قد سد من قبلٍ صلاحه اللا ائي الذي يفوق العقل.
إنه صغر نفسه - لو جاز هذا التعب -
عن ده غ ا ُقترب إليه،
ح كنه أن يتحد لائقه،
ح تستطيع أن تشترك حياة اللاهوت!...
الإله اللا ائي الذي يفوق العقل، بسبب صلاحه، صغر نفسه،
ولَبِس أعضاء هذا ا سد وأحاطه با د الفائق.
لقد صار جسداً بسبب رأفته و بته للبشر،
وا د بالنفوس ا قدسة ا رضية له والأمينة،
وتعهدها وصار معها روحاً واحداً كقول بولس (١كو٦: ١٧).
لقد صار، إن جاز التعب ، كنفسٍ للنفس، وكجوهرٍ وهرها،
ح كن للنفس أن يا اللاهوت،
و س ياة ا لود، وتص شريكة ا د الذي لا يف !]

عظة ٤:٩و١٠

St. Macarius the Great

The Aim of the Incarnation

I would wish to speak about a more subtle and profound topic to the best of my ability. Wherefore, listen attentively to me. The infinite, inaccessible and uncreated God has assumed a body, and on account of His immense and ineffable kindness, if I may so say it, He diminished Himself, lessening His inaccessible glory so as to be able to be united with His creatures, so they can be made participators of divine life (2 Pet 1:4). ...

God, who transcends all limitations and far exceeds the grasp of our human understanding, through His goodness has diminished Himself and has taken the members of our human body which He surrounded with inaccessible glory. And through His compassion and love for mankind, taking upon Himself a body, He mingles Himself with holy souls acceptable and faithful, and takes them to Himself and becomes "one spirit" (1 Cor 6:17) with them, according to Paul's statement. He becomes a soul, if I may so say it, in a soul, substance in substance so that the soul may live in God, and sense the immortal life and become a participator of eternal glory.

Homily 4, 9-10.

****

ἐκ τοῦ ἁγίου Μακαρίου

Λεπτὸν δέ τινα λόγον καὶ βαθὺν κατὰ τὴν προσοῦσάν μοι δύναμιν εἰπεῖν βούλομαι· διὸ συνεπῶς ἀκούσατε· 'Εσωματοποίησεν ἑαυτὸν ὁ ἄπειρος καὶ ἀπρόσιτος καὶ ἀποίητος Θεὸς δι' ἄπειρον καὶ ἀνεννόητον χρηστότητα, καὶ ὡς εἰπεῖν συνεσμίκρυνεν ἐκ τῆς ἀπροσίτου δόξης, ἵνα συνενωθῆναι δυνηθῇ τοῖς αὐτοῦ κτίσμασιν, ἵνα δυνηθῶσι ζωῆς θεότητος μετασχεῖν. ...

Ὁ ἄπειρος καὶ ἀνεννόητος Θεὸς τῇ χρηστότητι αὐτοῦ ἐσμίκρυνεν ἑαυτόν, καὶ ἐνεδύσατο τὰ μέλη τοῦ σώματος τούτου καὶ περιέλαβεν ἑαυτὸν ἀπὸ τῆς ἀπροσίτου δόξης, καὶ διὰ ἡμερότητα καὶ φιλανθρωπίαν σωματοποιεῖ ἑαυτόν, καὶ ἀναμείγνυται καὶ παραλαμβάνει τὰς ἁγίας καὶ εὐαρέστους καὶ πιστὰς ψυχάς, καὶ γίγνεται μετ' αὐτῶν εἰς ἓν Πνεῦμα, κατὰ τὸ λόγιον Παύλου· ψυχὴ ὡς εἰπεῖν εἰς ψυχὴν καὶ ὑπόστασις εἰς ὑπόστασιν, ἵνα δυνηθῇ ἡ ψυχὴ ἐν τῇ θεότητι ζῆσαι καὶ αἰσθέσθαι ἀθανάτου ζωῆς, καὶ δόξης ἀφθάρτου μέτοχος γένηται.

ΒΕΠ 41, 161-162.



معمودية المسيح



للقديس غريغوريوس الا يـ ي:

مع ا سيح ا معمودية و التجربة

■❍✞❍■

[إن كان ا رب عدو النور يعتدي عليك بعد ا معمودية،

- وهو يعتدي فعلاً كما اعتدى أيضاً على إ ي الكلمة ا ستتر ا سد -

فلك ما تغلبه به. لا ف ا عركة.

أشهر ضده ا اء. أشهر ضده الروح

الذي به تستطيع أيضاً أن تطفئ

يع سهام الشرير ا لتهبة (أف ٦:١٦).....

وإن كان اربك بالطمع ويريك يع ا مالك

ظة و طرفة ع كأ ا له، ويطالبك بالسجود له؛

احتقره كمثل فقـ لا لك شيئاً،

وقُلْ له وأنت واثق با تم (الروح القدس) الذي فيك:

"أنا أيضاً صورة ا . فقد لبست ا سيح (غل ٢٧:٣)،

و ولت إ شكل ا سيح با معمودية،

فاسجد أنت (أي للمسيح الذي)".

وأنا أعلم يقيناً أنه سيفر منهزماً و زياً من أقوالك.

فكما فر أمام ا سيح النور الأول،

هكذا يفر أمام الذين استناروا (اعتمدوا) با سيح...

فلنعتمد، إذن، لكي نغلب!]

عظة ٤٠: ١٠و١١ على ا معمودية

With Christ in Baptism and Temptation

If after baptism the persecutor and tempter of the light assail you (for he assailed even the Word my God through the veil), you have the means to conquer him. Fear not the conflict; defend yourself with the Water; defend yourself with the Spirit, by Which all the fiery darts of the wicked shall be quenched. ...

If he wrestle against you to a fall through avarice, showing you all the Kingdoms at one instant and in the twinkling of an eye, as belonging to himself, and demand your worship, despise him as a beggar. Say to him relying on the Seal, "I am myself the Image of God; ... I have put on Christ; I have been transformed into Christ by Baptism; worship you me." Well do I know that he will depart, defeated and put to shame by this; as he did from Christ the first Light, so he will from those who are illumined by Christ. ... Let us then be baptized that we may win the victory.

Oration 40, 10-11; NPNF 2nd Ser, Vol VII, p 362-363.

****

ἐκ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου

Ἐάν σοι προσβάλῃ μετὰ τὸ βάπτισμα ὁ τοῦ φωτὸς διώκτης καὶ πειραστὴς (προσβαλεῖ δέ· καὶ γὰρ, καὶ τῷ Λόγῳ, καὶ Θεῷ μου προσέβαλε διὰ τὸ κάλυμμα), ... ἔχεις ᾧ νικήσεις· μὴ φοβηθῇς τὸν ἀγῶνα. Προβαλοῦ τὸ ὕδωρ, προβαλοῦ τὸ Πνεῦμα, ἐν ᾧ πάντα τὰ βέλη τοῦ Πονηροῦ τὰ πεπυρωμένα σβεσθήσεται. ... Ἐὰν ἐξ ἀπληστίας καταπαλαίῃ σε, πάσας ὑποδεικνύων τὰς βασιλείας, ὡς αὐτῷ διαφερούσας, ἐν μιᾷ καιροῦ τε ῥοπῇ καὶ ὄψεως, ἀπαιτῶν τὴν προσκύνησιν· ὡς πένητος καταφρόνησον. Εἰπὲ, τῇ σφραγῖδι θαῤῥήσας· Εἰκών εἰμι καὶ αὐτὸς Θεοῦ· Χριστὸν ἐνδέδυμαι· Χριστὸν μεταπεποίημαι τῷ βαπτίσματι· σύ με προσκύνησον. Ἀπελεύσεται, σαφῶς οἶδα, τούτοις ἡττημένος καὶ ᾐσχυμμένος, ὥσπερ ἀπὸ Χριστοῦ τοῦ πρώτου φωτὸς, οὕτω τῶν ἀπ᾽ ἐκείνου πεφωτισμένων. ... Βαπτισθῶμεν οὖν, ἵνα νικήσωμεν.

PG 36, 369-372.

للقديس ك لس الأورشليمي:

معمودية ا سيح ومعموديتنا

■❍✞❍■

[ا اعتمد للمسيح ولبستم ا سيح،

صر "مشا صورة ابن ا " (رو٨: ٢٩)،

لأن ا إذ سبق وعيننا للتبني،

جعلنا "مشا صورة جسد د ا سيح" (٣: ٢١).

وأنتم صر "شركاء ا سيح" (عب ٣:١٤)،

ولذلك دعيتم ق "مسحاء χριστοί "...،

فإن ا يقول عنكم: «لا سوا مسحائي.» (مز ١٠٤:١٥)

لقد صر مسحاء لأنكم قبلتم رسم الروح القدس،

وكل شيء قد فيكم على صورة ما حدث للمسيح،

لأنكم صر صوراً للمسيح...

أما هو فلما اغتسل ر الأردن، ووهب ا ياه رائحةَ لاهوته،

صعد منها وظهر الروح القدس حالاًّ عليه وهره،

إذ أن ا ثيل يستريح على ا ثيل.

وأنتم أيضاً بشبه ذلك ا صعد من جرن ا اء ا قدس

قد نلتم مسحة هي صورة لتلك ال مسِح ا ا سيح،

وهذا هو الروح القدس...]

العظة الثالثة عن الأسرار

The Baptism of Christ and Ours

Having been baptized into Christ, and put on Christ, ye have been made comformable to the Son of God; for God having foreordained us unto adoption as sons, made us to be conformed to the body of Christ's glory. Having therefore become partakers of Christ, ye are properly called Christs, and of you God said, Touch not My Christs, or anointed. Now ye have been made Christs, by receiving the antitype of the Holy Ghost; and all things have been wrought in you by imitation, because ye are images of Christ. ... He washed in the river Jordan, and having imparted of the fragrance of His Godhead to the waters, He came up from them; and the Holy Ghost in the fullness of His being lighted on Him, like resting upon like. And to you in like manner, after you had come up from the pool of the sacred streams, there was given an Unction, the anti-type of that wherewith Christ was anointed; and this is the Holy Ghost.

Lecture XXI, (On the Mysteries III).
NPNF, 2nd Ser., Vol. VII, p. 149.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου Ἱεροσολύμων

Εἰς Χριστὸν βεβαπτισμένοι καὶ Χριστὸν ἐνδυσάμενοι σύμμορφοι γεγόνατε τοῦ Υἱοῦ τοῦ Θεοῦ. Προορίσας γὰρ ἡμᾶς ὁ Θεὸς εἰς υἱοθεσίαν, συμμόρφους ἐποίησε τοῦ σώματος τῆς δόξης τοῦ Χριστοῦ. Μέτοχοι οὖν τοῦ Χριστοῦ γενόμενοι, χριστοὶ εἰκότως καλεῖσθε, καὶ περὶ ὑμῶν ἔλεγεν ὁ Θεός· *"Μὴ ἅπτεσθε τῶν χριστῶν μου"*. Χριστοὶ δὲ γεγόνατε, τοῦ ἁγίου Πνεύματος τὸ ἀντίτυπον δεξάμενοι, καὶ πάντα εἰκονικῶς ἐφ᾽ ὑμῶν γεγένηται, ἐπειδὴ εἰκόνες ἐστὲ Χριστοῦ. Κἀκεῖνος μὲν ἐν Ἰορδάνῃ λουσάμενος ποταμῷ καὶ τῶν χρωτῶν τῆς θεότητος μεταδοὺς τοῖς ὕδασιν, ἀνέβαινεν ἐκ τούτων, καὶ Πνεύματος ἁγίου οὐσιώδης ἐπιφοίτησις αὐτῷ ἐγίνετο, τῷ ὁμοίῳ ἐπαναπαυομένου τοῦ ὁμοίου. Καὶ ὑμῖν ὁμοίως ἀναβεβηκόσιν ἀπὸ τῆς κολυμβήθρας τῶν ἱερῶν ναμάτων χρῖσμα, τὸ ἀντίτυπον ὃ ἐχρίσθη Χριστός. Τοῦτο δέ ἐστι τὸ ἅγιον Πνεῦμα.

SC 126, 120-122.

للقديس أثناسيوس الرسو :

حلول الروح القدس على الرب الأردن
كان حلولاً للروح علينا

■❍✞❍■

[الرب نفسه يقول بفمه إ يل يوحنا:
«من أجلهم أقدس أنا ذا ،
ليكونوا هم أيضاً مقدس ا ق» (يو ١٧: ١٩).
كيف ّ ذلك؟ وكيف يقول ذلك إلا ا معناه:
"أنا كلمتك أيها الآب، أُعطي الروح القدس لذا الصائر إنساناً،
وأُقدس به ذا الصائر إنساناً،
ح يكونوا يعاً مقدس أنا ا ق (لأ أنا كلمتك هو ا ق)"
فإن كان من أجلنا يقدس ذاته، ويفعل ذلك بعد أن صار إنساناً،
فمن الواضح اماً أن حلول الروح القدس عليه الأردن،
كان حلولاً للروح علينا ن، بسبب أنه كان لابساً جسدنا ن،
فلم يكن ذلك من أجل ارتقاء الكلمة ذاته،
بل با ري من أجل تقديسنا ن،
ح نشترك مسحته ويقال عنا:
«أما تعلمون أنكم هيكل ا وروح ا ساكن فيكم؟» (١كو٣:١٦)؟
فلما اغتسل الرب الأردن بصفته إنساناً،
كنا ن ا غتسل فيه وبواسطته،
و ا قَبِلَ الروح القدس، كنا ن الذين نقبله بواسطته].

ضد الأريوسي ١: ٤٦ و٤٧

The Spirit's Descent on Him Was a Descent upon Us

The Lord Himself has said by His own mouth in the Gospel according to John, ... "For their sakes do I sanctify Myself, that they may be sanctified in the truth" (John 17:19). ... How then does this take place? What does He mean but this? `I, being the Father's Word, I give to Myself, when becoming man, the Spirit; and Myself, become man, do I sanctify in Him, that henceforth in Me, who am Truth (for "Thy Word is Truth"), all may be sanctified.'

If then for our sake He sanctifies Himself, and does this when He is become man, it is very plain that the Spirit's descent on Him in Jordan was a descent upon us, because of His bearing our body. And it did not take place for promotion to the Word, but again for our sanctification, that we might share His anointing, and of us it might be said, "*Know ye not that ye are God's Temple, and the Spirit of God dwells in you?*" (1Co 3:16) For when the Lord, as man, was washed in Jordan, it was we who were washed in Him and by Him. And when He received the Spirit, we it was who by Him were made recipients of It

Against the Arians I, 46-47; NPNF, 2nd Ser., Vol. IV, p. 333.

****

ἐκ τοῦ ἁγίου Ἀθανασίου

Αὐτὸς δι᾽ ἑαυτοῦ ὁ Κύριος ἔλεγεν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ· ... *"Ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ."* ... Πῶς οὖν τοῦτο γίνεται; πῶς δὲ τοῦτο λέγει ἢ ὅτι, Ἐγὼ Λόγος ὢν τοῦ Πατρὸς, αὐτὸς ἐμαυτῷ ἀνθρώπῳ γενομένῳ δίδωμι τὸ Πνεῦμα· καὶ ἐμαυτὸν ἄνθρωπον γενόμενον ἐν τούτῳ ἁγιάζω, ἵνα λοιπὸν ἐν ἐμοὶ ἀληθείᾳ ὄντι (Ὁ δὲ Λόγος ὁ σὸς ἀλήθειά ἐστιν·) οἱ πάντες ἁγιασθῶσιν; Εἰ δὲ ἡμῶν χάριν ἑαυτὸν ἁγιάζει, καὶ τοῦτο ποιεῖ, ὅτε γέγονεν ἄνθρωπος, εὔδηλον, ὅτι καὶ ἡ εἰς αὐτὸν ἐν τῷ Ἰορδάνῃ τοῦ Πνεύματος γενομένη κάθοδος, εἰς ἡμᾶς ἦν γινομένη, διὰ τὸ φορεῖν αὐτὸν τὸ ἡμέτερον σῶμα. Καὶ οὐκ ἐπὶ βελτιώσει τοῦ Λόγου γέγονεν, ἀλλ᾽ εἰς ἡμῶν πάλιν ἁγιασμὸν, ἵνα τοῦ χρίσματος αὐτοῦ μεταλάβωμεν, καὶ περὶ ἡμῶν λεχθείη· *"Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;"* Τοῦ γὰρ Κυρίου, ὡς ἀνθρώπου, λουομένου εἰς τὸν Ἰορδάνην, ἡμεῖς ἦμεν οἱ ἐν αὐτῷ καὶ παρ᾽ αὐτοῦ λουόμενοι. Καὶ δεχομένου δὲ αὐτοῦ τὸ Πνεῦμα, ἡμεῖς ἦμεν οἱ παρ᾽ αὐτοῦ γινόμενοι τούτου δεκτικοί.

PG 26, 108-109.

للقديس ك لس الكب :

قبول ا سيح الروح القدس من أجلنا

■❍✞❍■

[ا صار كلمة ا إنساناً،
اقتبل الروح القدس من الآب كواحد منا،
ليس كمن يقبل شيئاً لذاته،
إذ أنه هو نفسه الذي يوزع الروح؛
بل لكي بقبوله الروح كإنسان فظه لطبيعتنا،
و عل النعمة ال فارقتنا تتأصل من جديد فينا...
إذن، فهو قَبِـلَ الروح سابنا ن بواسطة نفسه
لكي يستعيد لطبيعتنا ذلك ا الأصلي
ولذلك أيضاً قيل عنه إنه افتقر لأجلنا.
فمع كونه غنياً كإله ولا يعوزه شيء من ا ات،
جعل نفسه إنساناً مفتقراً لكل شيء...
فكما أنه مع كونه ا ياة بطبعه قد مات با سد لأجلنا
لكي يغلب ا وت عنا ويقيم طبيعتنا كلها معه
- لأننا يعاً كنا فيه لكونه قد صار إنساناً -
هكذا أيضاً هو يقبل الروح لأجلنا لكي يقدس به طبيعتنا كلها.
لأنه يأت لكونه تاجاً شيئاً لنفسه،
بل قد جاء ليصر لنا يعاً باباً وبدايةً وطريقاً للخ ات السمائية!]

شرح إ يل يوحنا ١: ٣٢

Christ received the Spirit for our sakes

When the Word of God became Man, He received the Spirit from the Father as one of us, not receiving ought for Himself individually, for He was the Giver of the Spirit; but that He might, by receiving It as Man, preserve It to our nature, and might again inroot in us the grace which had left us. (...)
Therefore through Himself He receives the Spirit for us, and renews to our nature the ancient good. For thus is He also said *for our sakes* to *become poor.* For being rich, as God and lacking no good thing, He became Man lacking all things (...) As then, being by nature Life, He died in the flesh for our sakes, that He might overcome death for us, and raise up our whole nature together with Himself (for all we were in Him, in that He was made Man): so does He also receive the Spirit for our sakes, that He may sanctify our whole nature. For He came not to profit Himself, but to be to all of us the Door and Beginning and Way of the Heavenly Goods.

On John 1:32; LFC 1, 142-143.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

Ἐπειδὴ δὲ ἄνθρωπος γέγονεν ὁ τοῦ Θεοῦ Λόγος, δέχεται τὸ Πνεῦμα παρὰ τοῦ Πατρὸς, ὡς εἷς ἐξ ἡμῶν, οὐχ ἑαυτῷ τι λαμβάνων ἰδικῶς· αὐτὸς γὰρ ἦν ὁ τοῦ Πνεύματος χορηγός· ἀλλ᾽ ἵνα τῇ φύσει διασώσῃ λαβὼν, ὡς ἄνθρωπος, καὶ ῥιζώσῃ πάλιν ἐν ἡμῖν τὴν ἀποφοιτήσασαν χάριν· (...)
Οὐκοῦν ἡμῖν δι᾽ ἑαυτοῦ λαμβάνει τὸ Πνεῦμα, καὶ ἀνανεοῖ τῇ φύσει τὸ ἀρχαῖον ἀγαθόν· οὕτω γὰρ καὶ πτωχεῦσαι λέγεται δι᾽ ἡμᾶς. πλούσιος γὰρ ὢν, ὡς Θεὸς, καὶ οὐδενὸς τῶν ἀγαθῶν ἐπιδεὴς, ἄνθρωπος γέγονε πάντων ἐπιδεὴς, (...) ὥσπερ οὖν ζωὴ κατὰ φύσιν ὑπάρχων ἀπέθανε κατὰ σάρκα δι᾽ ἡμᾶς, ἵνα νικήσῃ τὸν θάνατον ὑπὲρ ἡμῶν, καὶ ὅλην ἑαυτῷ συναναστήσῃ τὴν φύσιν· πάντες γὰρ ἦμεν ἐν αὐτῷ, καθὸ γέγονεν ἄνθρωπος· οὕτω καὶ τὸ Πνεῦμα δέχεται δι᾽ ἡμᾶς, ἵνα πᾶσαν ἁγιάσῃ τὴν φύσιν. οὐ γὰρ ἑαυτὸν ὠφελήσων ἐλήλυθεν, ἀλλ᾽ ἵνα πᾶσιν ἡμῖν καὶ θύρα καὶ ἀρχὴ καὶ ὁδὸς γένηται τῶν οὐρανίων ἀγαθῶν.

PG 73, 205-208; Pusey 1.184-185.

للقديس ك لس الكب :

ارتياح الروح القدس الإنسان ا ديد

■❍✞❍■

[«**ويرتاح** Ἀναπαύσεται **عليه روح ا** .» (إش ١١:١)
لقد سبق أن منح الروح القد لباكورة جنسنا آدم،
ولكن هذا صار متهاوناً من جهة حفظ الوصية ا عطاة له،
واستهتر ا أُمر به، فسقط ا طية،
وبالتا د الروح راحة ἀνάπαυσιν ب الناس.
«لأن ا ميع زاغوا وفسدوا معاً،
ليس من يعمل صلاحاً، ليس ولا واحد.» (رو ٣:١٢)
إن الكلمة ابن ا الوحيد صار إنساناً،
ولكن دون أن يتحول عن كونه إ اً.
فلما صار مثلنا وهو غ قابل لأن ينساق و ا طايا،
حينئذ ارتاح الروح القدس طبيعة الإنسان،
فيه هو أولاً بصفته الباكورة الثانية نسنا، ح يرتاح فينا أيضاً،
ويثبت نفوس ا ؤمن ، باً للسك فيها.
وهكذا يشهد يوحنا الإ ي موضع ما
أنه قد رأى الروح نازلاً بألفة من السماء على ا سيح.
فكما صرنا شركاء ا اث مع أول جبلتنا الشرور ال أصابته،
هكذا سنص شركاء أيضاً ا ات ا ادثة تدب ياً
للباكورة الثانية نسنا الذي هو ا سيح].

شرح إشعياء ١١:١

The Holy Spirit rests in the New Man

"And the Spirit of God shall rest upon him" (Is 11:2 LXX). The Holy Spirit had been previously dispensed to Adam, the firstfruits of our race. But he was lax in keeping the commandment which was given him, and made light of what he was ordered [not to do] and so fell into sin. The Spirit then did not find rest among humankind. "All have turned aside, together they have gone wrong; no one does good, not even one" (Rom 3:12). The Word, the only Son of God, became man, but without ceasing to be God. When he became like us, while being infallible against drifting into sins, the Holy Spirit found rest in the nature of humankind: first in him as the second Firstfruits of our race, and then in us, dwelling in the souls of believers, pleased to remain in them. So does John the Divine witness, in some place, that he saw the Spirit alighting pleasantly from heaven upon Christ. Therefore, just as we had become partakers with the firstfruits of our race (Adam) in the evils that befell him, so shall we become partakers with Christ, the second Firstfruits of our race, in the goods that befell him through [divine] economy.

On Isaiah 11:2

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

"Ἀναπαύσεται γὰρ ἐπ' αὐτὸν, φησὶ, *Πνεῦμα τοῦ Θεοῦ."*

Δέδοται γὰρ ἐν ἀρχαῖς τῇ τοῦ γένους ἡμῶν ἀπαρχῇ, τουτέστι, τῷ Ἀδὰμ, ἀλλὰ γέγονε ῥᾴθυμος περὶ τὴν τήρησιν τῆς δοθείσης αὐτῷ ἐντολῆς, κατημέλησε τῶν προστεταγμένων, κατεβιβάσθη πρὸς ἁμαρτίαν, οὐχ εὗρεν ἀνάπαυσιν ἐν ἀνθρώποις τὸ πνεῦμα. *"Πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἦν ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός"*. Εἶτα γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, καίτοι τὸ εἶναι Θεὸς οὐ μεθείς. Ἐπειδὴ δὲ καίτοι γεγονὼς καθ' ἡμᾶς, ἀνάλωτος ἦν ἁμαρτίαις, ἐπανεπαύσατο τῇ ἀνθρώπου φύσει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐν αὐτῷ καὶ πρώτῳ, καὶ ὡς ἐν ἀπαρχῇ τοῦ γένους δευτέρᾳ, ἵνα καὶ ἡμῖν ἐπαναπαύηται, καὶ μένῃ λοιπὸν ταῖς τῶν πιστευόντων διανοίαις ἐμφιλοχωροῦν. Οὕτω γάρ που καὶ ὁ θεσπέσιος Ἰωάννης τεθεᾶσθαί φησιν ἐξ οὐρανοῦ καταφοιτῆσαν τὸ Πνεῦμα ἐπὶ Χριστόν. Ὥσπερ συγκληρονόμοι γεγόναμεν τῶν συμβεβηκότων τῷ πρωτοπλάστῳ κακῶν, οὕτως ἐσόμεθα μέτοχοι τῶν ὑπαρχθέντων οἰκονομικῶς τῇ δευτέρᾳ τοῦ γένους ἡμῶν ἀπαρχῇ, τουτέστι Χριστῷ.

PG 70, 313-316.

للقديس ك لس الكب :

ا سيح أعطانا الثبات اقتناء الروح القدس

■❍✞❍■

[إن ا سيح يقبل الروح لنفسه هو بل با ري لنا ن فيه،
لأن يع ا ات إ ا بواسطته تتدفق فينا ن أيضاً.
فنظراً لأن آدم أبانا الأول ا ول بالغواية إ ا عصية وا طية
فظ نعمة الروح،
وبذلك فقدت أيضاً الطبيعة كلها فيه عطية ا الصا ة.
فكان لابد أن ا الكلمة الذي لا يعرف التغي يص إنساناً
لكي إذ يقبل العطية بصفته إنساناً تفظ ا بدوام لطبيعتنا...
فقد صار الابن الوحيد إذن إنساناً مثلنا
لكي إذ يستعيد من جديد نفسه أولاً ا ات الصا ة
و عل نعمة الروح متأصلة من جديد ومنغرسة فيه،
يتمكن بذلك أن فظها بثبات وبعدم تغي لكل طبيعتنا.
وكأن اللوغس الوحيد ا ولود من ا الآب
قد أعارنا عدم تغي طبيعته ا اصة.
فإن طبيعة الإنسان قد عرفت آدم
أ ا عاجزة عن الثبات ومتحولة بكل سهولة إ السوء.
فكما أنه بتحول الإنسان الأول
قد اجتاز فقدان ا ات الصا ة إ سائر طبيعتنا،
هكذا أيضاً أعتقد أنه بواسطة ذاك الذي لا يعرف التغي
سيعود الثبات اقتناء العطايا الإ ية إ سائر جنسنا]

تفس إ يل يوحنا ٧: ٣٩

The Word of God Lent Us the Stability of His Own Nature

Not for Himself did Christ receive the Spirit, but rather for us in Himself, for all good things flow through Him into us too. For since our forefather Adam being turned aside by deceit into disobedience and sin, did not preserve the grace of the Spirit, and thus in him the whole nature lost the God-given Good, needs did God the Word Who knows not turning, become Man, in order that by receiving as Man He might preserve the Good permanently to our nature. ...

The Only-Begotten was made therefore Man as we, that in Him first the good things returning and the grace of the Spirit rooted might be preserved securely to our whole nature, the Only-Begotten and Word of God the Father lending us the stability of His own Nature, because the nature of man had been condemned in Adam as powerless for stability and falling – and that most easily – into perversion. As then in turning of the first man the loss of good things passes through unto the whole nature, in the same way I deem in Him too who knows no turning will the gain of the abidance of the Divine Gifts be preserved to our whole race.

On John 7:39; LFC 1, 548-549.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

Οὐχ ἑαυτῷ ἔλαβε τὸ Πνεῦμα Χριστὸς, ἡμῖν δὲ μᾶλλον ἐν ἑαυτῷ· πάντα γὰρ δι' αὐτοῦ καὶ εἰς ἡμᾶς τρέχει τὰ ἀγαθά. ἐπειδὴ γὰρ ὁ προπάτωρ Ἀδὰμ οὐ διέσωσε τὴν τοῦ Πνεύματος χάριν παρατραπεὶς ἐξ ἀπάτης εἰς παρακοὴν καὶ ἁμαρτίαν, ὅλη τε οὕτως ἐν αὐτῷ ἐζημιοῦτο λοιπὸν ἡ φύσις τὸ θεόσδοτον ἀγαθὸν, ἀναγκαίως ὁ τροπὴν οὐκ εἰδὼς Θεὸς Λόγος γέγονεν ἄνθρωπος, ἵνα λαβὼν ὡς ἄνθρωπος διασώσῃ παγίως τῇ φύσει τὸ ἀγαθόν...

Γέγονε τοίνυν καθ' ἡμᾶς ἄνθρωπος ὁ Μονογενὴς, ἵν' ἐν αὐτῷ καὶ πρώτῳ παλινδρομοῦντα τὰ ἀγαθὰ, καὶ ἡ τοῦ Πνεύματος ῥιζωθεῖσα χάρις ὅλῃ λοιπὸν ἀραρότως τῇ φύσει φυλάττοιτο, οἱονεὶ κιχρῶντος ἡμῖν τὸ τῆς ἰδίας φύσεως ἀμετάπτωτον τοῦ Μονογενοῦς, καὶ ἐκ Θεοῦ Πατρὸς ὄντος Λόγου, διὰ τὸ κατεγνῶσθαι τὴν ἀνθρώπου φύσιν ἐν Ἀδὰμ, ὡς ἀδιαπτώτως ἔχειν οὐ δυναμένην, κατολισθαίνουσαν δὲ καὶ σφόδρα ῥᾳδίως εἰς παρατροπήν. ὥσπερ οὖν ἐν ταῖς τοῦ πρώτου τροπαῖς εἰς ὅλην διήκει τὴν φύσιν ἡ τῶν ἀγαθῶν ζημία· κατὰ τὸν αὐτὸν οἶμαι λόγον καὶ ἐν τῷ μὴ εἰδότι τροπὴν τῆς τῶν θείων χαρισμάτων διαμονῆς ὅλῳ σωθήσεται τῷ γένει τὸ κέρδος.
PG 73, 753-756; Pusey 1.693-694.

للقديس ك لس الكب :

هذا هو اب ا بيب

■❍✞❍■

[لقد جاء صوت ا الآب قائلاً من و ا سيح
أثناء عماده ا قدس:
«هذا هو اب ا بيب»،
وكأ ا بذلك كان يقبل فيه وبواسطته الإنسان الأرضي.
فإن ابن ا الوحيد ا ق سب الطبيعة
ا صار مثلنا،
قد تعين ابن ا (رو١: ٤)،
ليس كأنه ينال ذلك لنفسه هو
– إذ أنه ذاته كان و يزل كما قلت إ أ حقاً –
بل لكي يوصل إلينا هذا ا د.
فإنه قد صار لنا باكورةً وبكراً وآدماً ثانياً.
لأجل ذلك قيل إن كل شيء فيه يص جديداً (٢كو٥: ١٧).
و ن إذ قد خلعنا عتق آدم،
اغتنينا با دة ال ا سيح].

تفس لو٣: ٢١-٢٣

“This is My beloved Son”

For the voice of God the Father spoke unto Christ at the time of holy baptism, as though having by Him and in Him accepted man upon earth to the sonship: *“This is my beloved Son”* (Mat 3:17). For He Who is the Son by nature and in truth, and the Only-begotten, when He became like unto us, is specially declared to be the Son of God, not as receiving this for Himself – for He was and is, as I said, very God – but that He might ratify the glory unto us. For He has been made our first fruits, and firstborn, and second Adam: for which reason it is said, that *in Him all things have become new* (2Cor 5:17). For having put off the oldness that was in Adam, we have gained the newness that is in Christ.

On Luke iii, 21-23; Payne Smith, I, 47-48.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

Ἔφη δὲ ἡ τοῦ Θεοῦ καὶ Πατρὸς φωνὴ ἐπὶ Χριστῷ κατὰ τὸν καιρὸν τοῦ ἁγίου βαπτίσματος, ὡς δι᾽ αὐτοῦ τε καὶ ἐν αὐτῷ τὸν ἐπὶ γῆς ἄνθρωπον λαβών· *“Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός”*. Ὁ γὰρ φύσει καὶ ἀληθῶς καὶ μονογενὴς Υἱὸς, ὅτε γέγονε καθ᾽ ἡμᾶς, εἰς Υἱὸν ὁρίζεται Θεοῦ, οὐχ ἑαυτῷ τοῦτο δεχόμενος (ἦν γὰρ καὶ ἔστιν, ὡς ἔφην, Θεὸς ἀληθινὸς), ἀλλ᾽ ἵνα εἰς ἡμᾶς παραπέμψῃ τὴν δόξαν. Γέγονε γὰρ ἡμῶν ἀπαρχὴ, καὶ πρωτότοκος, καὶ δεύτερος Ἀδάμ· διὰ τοῦτο ἐν αὐτῷ πάντα καινὰ γεγενῆσθαι λέγεται. Ἀποδυσάμενοι δὲ τὴν ἐν Ἀδὰμ παλαίωσιν, τὴν ἐν Χριστῷ καινότητα πεπλουτήκαμεν.

PG 72, 524.





صوم يونان

للقديس يوحنا ذهـ الفم:

"هوذا أعظم من يونان ههنا"

■❍✞❍■

[فإنه هو كان رد عبد، وأما أنا فإ السيد.
هو خرج من بطن ا وت، وأما أنا فقمت من بعد ا وت.
هو كرز با لاك، وأما أنا فجئت مبشراً با لكوت.
إ م آمنوا به دون أن يصنع آية،
وأما أنا فأظهرت آيات بلا عدد.
إ م يسمعوا منه أكثر من ذلك الكلام (التهديد با لاك)،
وأما أنا فحركت فيكم يع ا ُثـُل العليا.
إنه جاء كمجرد خادم،
أما أنا فأتيت كرب وسيد ا ميع،
ليس لأُهدد أو أحاسب من جهة الاستقامة،
بل لأُقدم لكم الصفح ...
يتنبأ أحد عنه، وأما ء فا ميع تنبأوا.
جاءت الأحداث مطابقة للنبوات.
هو عند ذهابه إليهم هرب لئلا يسخروا به،
وأما أنا فجئت عا اً أ سأُصلب ويستهزأ .
هو تمل رد التعيـ من أجل الذين سيخلصون،
وأما أنا فاحتملت ا وت، بل وأشنع موت لأجلكم!]

تفسـ مت ١٢: ٤١

Behold, a Greater than Jonas is Here!

For he was a servant, but I am the Master; and he came forth from the whale, but I rose from death; and he proclaimed destruction, but I am come preaching the good tidings of the kingdom. And they indeed believed without a sign, but I have exhibited many signs. And they indeed heard nothing more than those words, but I have given a spring to every kind of self-denial. And he came being ministered unto, but I the very Master and Lord of all am come not threatening, not demanding an account, but bringing pardon. (…) And of him no man had foretold, but of me all, and the facts agreed with their words. And he indeed, when he was to go forth, ran away that he might not be ridiculed; but I, knowing that I am both to be crucified and mocked, am come. And while he did not endure so much as to be reproached for them that were saved, I underwent even death, and that the most shameful death.

On Matthew 12:41; Homily 43:3

****

ἐκ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου

"Καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε".

Ὁ μὲν γὰρ δοῦλος, ἐγὼ δὲ Δεσπότης· καὶ ὁ μὲν ἐκ κήτους ἐξῆλθεν, ἐγὼ δὲ ἐκ θανάτου ἀνέστην· καὶ ὁ μὲν καταστροφὴν ἐκήρυξεν, ἐγὼ δὲ βασιλείαν ἦλθον εὐαγγελιζόμενος. Καὶ οἱ μὲν χωρὶς σημείου ἐπίστευσαν, ἐγὼ δὲ πολλὰ σημεῖα ἐπεδειξάμην. Καὶ οἱ μὲν οὐδὲν πλέον ἤκουσαν τῶν ῥημάτων ἐκείνων, ἐγὼ δὲ πᾶσαν ἐκίνησα φιλοσοφίας ἰδέαν. Καὶ ὁ μὲν διακονούμενος παρεγένετο, ἐγὼ δὲ αὐτὸς ὁ Δεσπότης καὶ ὁ πάντων Κύριος ἦλθον, οὐκ ἀπειλῶν, οὐκ ἀπαιτῶν εὐθύνας, ἀλλὰ συγχώρησιν κομίζων. (...) Καὶ περὶ ἐκείνου μὲν οὐδεὶς προεῖπεν, περὶ ἐμοῦ δὲ ἅπαντες, καὶ τὰ ἔργα τοῖς λόγοις συνέβαινε. Κἀκεῖνος μὲν ἐδραπέτευσεν, ἀπιέναι μέλλων ὑπὲρ τοῦ μὴ γελασθῆναι· ἐγὼ δὲ εἰδὼς ὅτι καὶ σταυροῦσθαι καὶ γελᾶσθαι μέλλω, παρεγενόμην. Καὶ ἐκεῖνος μὲν οὐδὲ ὀνειδισθῆναι ἤνεγκεν ὑπὲρ τῶν σωζομένων· ἐγὼ δὲ καὶ θάνατον ὑπέμεινα, καὶ θάνατον τὸν αἴσχιστον.

PG 57, 459.

للقديس ك لس الكب :

آية يونان

وجذب ا سيح ا ميع إليه

■❍✞❍■

[(اليهود) يصدقوا التجسد ولا العجائب ا ادثة بينهم.
لكنهم أخ اً بالكاد آمنوا بواسطة الآية ا تامية،
ليس كلهم بل كما كتب بولس الطوباوي:
«البقية حسب اختيار النعمة» (رو ١١:٥)...
فماذا كانت الآية ا تامية؟
موت ا سيح على ا شبة، وقيامته ال لاحقت ا وت وتبعته للتّو...
لقد تقدم إليه الفريسيون، بعد أن أظهر م ربوات من الآيات،
وقالوا له متجاهل إياها: «يا معلم نريد أن نرى منك آية».
فأجا م: «جيل شرير وفاسق يطلب آية،
ولا تعطى له آية إلا آية يونان الن .
لأنه كما كان يونان بطن ا وت ثلاثة أيام وثلاث ليالٍ،
هكذا يكون ابن الإنسان قلب الأرض
ثلاثة أيام وثلاث ليالٍ.» (مت ١٢:٣٨-٤٠)
لقد أفاد موت عمانوئيل بأن جعله يعرف دون عناء،
ليس فقط من اليهود، بل ومن الأمم أيضاً.
فقد قال مرة: **«وأنا إن ارتفعت عن الأرض**
أجذب إ ا ميع» (يو ١٢:٣٢)...
فهذا القول الذي قاله ا خلص كان هو آية ا تام
ال ا آمن ليس فقط الذين من إسرائيل،
بل ومن ا موع الأخرى، أع الذين من الأمم.]

جلاف على سفر ا روج

The Sign of Jonah and Christ drawing all men to Himself

[The Jews] did not believe the incarnation nor the signs done among them. But they at last hardly believed through the final sign, though not all of them but as wrote the blessed Paul "*a remnant chosen by grace*" (Rom 11:5) ... What then was this final sign? It was the death of Christ on the tree and his resurrection which ensued death and followed it on the spot ... The Pharisees approached him after he had shown them myriads of signs ignoring them and saying, "Teacher, we wish to see a sign from you," to which he retorted, "An evil and adulterous generation seeks for a sign; but no sign shall be given to it except the sign of the prophet Jonah. For as Jonah was three days and three nights in the belly of the whale, so will the Son of man be three days and three nights in the heart of the earth" (Mt 12:38-40)... The death of Emmanuel helped in making him known without much ado not only to the Jews but also to the Gentiles. For he once said, "And I, when I am lifted up from the earth, will draw all men to myself" (Jn 12:32) ... This saying which the Savior said was the final sign in which not only those from Israel but the other multitudes believed, I mean those from the nations.

Glaphyra on Exodus

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

Ἠπειθήκασι γὰρ (οἱ Ἰουδαίοι) τῷ τῆς ἐνανθρωπήσεως τρόπῳ, καὶ τοῖς διὰ μέσου παραδόξως τετελεσμένοις. Ὀψὲ δὲ καὶ μόλις τῷ τελευταίῳ σημείῳ πεπιστεύκασιν, εἰ καὶ μὴ πάντες τυχὸν, ἀλλ᾽ οὖν τὸ κατάλειμμα τὸ κατ᾽ ἐκλογὴν χάριτος, ὡς μακάριος γράφει Παῦλος. Καὶ τί τὸ τελευταῖον σημεῖον; Ὁ ἐπὶ ξύλου θάνατος, καὶ ἡ τῷ θανάτῳ παρεζευγμένη καὶ γείτων εὐθὺς ἀναβίωσις τοῦ Χριστοῦ. (...) Προσήεσαν μὲν γὰρ οἱ Φαρισαῖοί ποτε μετὰ μυρίων ὅσων σημείων ἐπίδειξιν, εἰρωνευόμενοί τε καὶ λέγοντες· *"Διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν."* Ὁ δὲ πρὸς αὐτούς· *"Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου."*
Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς, τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Κεκέρδακε δὲ ὅτι πολλοὺς ἐξ Ἰουδαίων οὐχὶ δὴ μόνον, ἀλλὰ καὶ ἐξ ἐθνῶν ὁ τοῦ Ἐμμανουὴλ θάνατος, ἀταλαίπωρον ἰδεῖν. Ἔφη γὰρ πάλιν, ποτὲ μὲν, ὅτι *"Ὅταν ὑψωθῶ ἐκ τῆς γῆς, πάντα ἑλκύσω πρὸς ἐμαυτόν."* (...) Ἦν οὖν ἄρα τὸ λοῖσθον ἡμῖν σημεῖον, τοῦ Σωτῆρος οἱ λόγοι, ἐφ᾽ ᾧ καὶ ἡ πίστις οὐχὶ μόνων τῶν ἐξ Ἰσραὴλ, ἀλλὰ καὶ αὐτῶν, ὡς ἔφην, τῶν ἐκ τῆς ἑτέρας πληθύος, φημὶ δὲ τῆς ἐξ ἐθνῶν.

PG 69, 477.



الصوم والتجربة على ا بل



للقديس إيرينيئوس:

على جبل التجربة

■❍✞❍■

[كما أن (الشيطان) البدء أقنع الإنسان
أن يخالف وصية خالقه
وبذلك أخضعه ت سلطانه
- أعـ سلطان ا خالفة والعصيان اللذين ما ربط الإنسان -
كان ينبغي بالتا أن (الشيطان) حينما يغلَب بواسطة الإنسان
يربط بنفس الرباطات الـ كان قد ربط ا الإنسان
حـ ينعتق الإنسان
وينطلق من جديد و سيده ...
لذلك فإن كلمة ا الذي هو خالق الكل
قد غلبه ا صار إنساناً
وفضح عصيانه وأخضعه بدوره للإنسان
قائلاً: «ها أنا أعطيكم السلطان لتدوسوا ا يات والعقارب
وكل قوة العدو» (لو ١٠: ١٩).]

ضد ا رطقات ٥: ٢١: ٣ و٥: ٢٤: ٤

On the Mount of Temptation

As in the beginning he (the devil) enticed man to transgress his Maker's law, and thereby got him into his power; yet his power consists in transgression and apostasy, and with these he bound man [to himself]; so again, on the other hand, it was necessary that through man himself he should, when conquered, be bound with the same chains with which he had bound man, in order that man, being set free, might return to his Lord.

The Word of God, however, the Maker of all things, conquering him by means of his humanity, and showing him to be an apostate, has put him, in turn, under the power of man. For He says, *"Behold, I confer upon you the power of treading upon serpents and scorpions, and upon all the power of the enemy*" (Luke10:19).

Against Heresies V,21,3; 24,4

****

ἐκ τοῦ Ἁγίου Εἰρηναίου

Ἐπειδὴ ἐν ἀρχῇ τὸν ἄνθρωπον ἔπεισε παραβῆναι τὴν ἐντολὴν τοῦ Ποιητοῦ καὶ ἔσχεν ὑπὸ τὴν ἑαυτοῦ ἐξουσίαν, ἐξουςία δὲ αὐτοῦ παράβασις καὶ ἀποστασία, καὶ ταύταις ἔδησε τὸν ἄνθρωπον, διὰ τοῦ ἀνθρώπου πάλιν ἔδει νικηθέντα αὐτὸν ἀντιδεθῆναι τοῖς αὐτοῖς δεσμοῖς οἷς ἔδησε τὸν ἄνθρωπον, ἵνα ὁ ἄνθρωπος λυθεὶς ἐπανέλθῃ πρὸς τὸν ἑαυτοῦ Δεσπότην.

Ὁ δὲ τῶν ἁπάντων τεχνίτης Λόγος τοῦ Θεοῦ δι᾽ ἀνθρώπου νικήσας αὐτὸν καὶ ἀποστάτην ἐπειδείξας, ἀνθυπέταξε τῷ ἀνθρώπῳ, "*Ἰδού*", λέγων, *"δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ"*.

SC 153, p. 275, 307 (Retroversion).

للقديس إيرينيئوس:

على جبل التجربة

■❍✞❍■

[إن ا سيح قد جدد واستقطب نفسه يع الأشياء
ومن ضمن ذلك ا رب ضد عدونا،
فقد دى ذاك الذي البدء سبانا آدم، وغلبه وسحق رأسه،
كما يقول ا للحية سفر التكوين (تك٣: ١٥):
«وأضع عداوةً بينك وب ا رأة، وب نسلك ونسلها»...
ففي البدء أغوى الشيطان الإنسان بالطعام
مع أنه يكن جائعاً وجعله الف وصية ا ،
وأما هذه ا رة الأخ ة فلم يستطع أن يث (ا سيح) ا ائع
من أن ينتظر الطعام الذي من عند ا ...
وهكذا فإن شره الإنسان ا نة بالأكل ا ضاعف
قد أُبطلَ بواسطة الامتناع (عن الأكل)
الذي (احتمله ا سيح) هذا العا ...
وكذلك العصيان الذي ارتكبه آدم ضد وصية ا
قد أُبطلَ ا حفظ ابن الإنسان وصية الناموس
و الف وصية ا]

(ضد ا رطقات ٥:٢١:١و٢)

On the Mount of Temptation

Christ has therefore, in His work of recapitulation, summed up all things, both waging war against our enemy, and crushing him who had at the beginning led us away captives in Adam, and trampled upon his head, as you can perceive in Genesis that God said to the serpent, "And I will put enmity between you and the woman, and between your seed and her seed" (Gen. 3:15)...

As at the beginning it was by means of food that [the enemy] persuaded man, although not suffering hunger, to transgress God's commandments, so in the end he did not succeed in persuading Him that was an hungered to take that food which proceeded from God. ...

The greediness of man, therefore, which occurred in paradise by both [of our first parents] eating, was done away with by [the Lord's] want of food in this world ...; and that infringement of God's commandment which had occurred in Adam was done away with by means of the precept of the law, which the Son of man observed, who did not transgress the commandment of God.

Against Heresies, V, 21, 1-2.

****

ἐκ τοῦ Ἁγίου Εἰρηναίου

Πάντα οὖν εἰς ἑαυτὸν ἀνακεφαλαιούμενος, ἀνακεφαλαιώσατο καὶ τὸν πρὸς τὸν ἐχθρὸν ἡμῶν πόλεμον, προκαλεσάμενος καὶ νικήσας τὸν τὴν ἀρχὴν ἐν τῷ Ἀδὰμ αἰχμαλωτίσαντα ἡμᾶς καὶ πατήσας αὐτοῦ τὴν κεφαλήν, καθὼς ἔχει ἐν τῇ Γενέσει εἰρηκέναι τῷ ὄφει τὸν Θεόν· "Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικὸς καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς"...

Ἐν ἀρχῇ διὰ τροφῆς τὸν μὴ πεινῶντα ἄνθρωπον ἐξηπάτησε παραβῆναι τὴν ἐντολὴν τοῦ Θεοῦ, ἐν τέλει πεινῶντα οὐκ ἴσχυσε μεταπεῖσαι μὴ τὴν παρὰ τοῦ Θεοῦ περιμένειν τροφήν. ... Ἡ οὖν ἐν τῷ παραδείσῳ πλησμονὴ τοῦ ἀνθρώπου διὰ τῆς διπλῆς γεύσεως κατελύθη διὰ τῆς ἐν τῷδε τῷ κόσμῳ ἐνδείας. ... Καὶ ἐλύθη ἡ ἐπὶ τοῦ Ἀδὰμ τῆς ἐντολῆς τοῦ Θεοῦ παράβασις διὰ τῆς τηρήσεως τῆς ἐντολῆς τοῦ νόμου, ἣν ἐτήρησεν ὁ Υἱὸς τοῦ ἀνθρώπου, μὴ παραβὰς τὴν ἐντολὴν τοῦ Θεοῦ.

SC 153, p. 267, 269, 273, (Retroversion).

الصوم والتجربة على ا بل (٣)

للقديس غريغوريوس ال ي ي:

لقد صار ربا

لكي ننتصر ن التجارب

■❍♰❍■

[فلْنصر مثل ا سيح لأن ا سيح أيضاً صار مثلنا؛
لنصر آ ةً من أجله،
لأنه هو أيضاً من أجلنا صار إنساناً.
لقد أخذ منا الأردأ لكي يعطينا الأفضل،
لقد افتقر لكي نغت ن بفقره (٢كو٨:٩)،
لقد أخذ شكل العبد لكي نستعيد ن ا رية،
لقد نزل لكي نرتفع ن،
لقد صار رباً لكي ننتصر ن (التجارب)،
أُه لكي جدنا،
مات لكي لصنا،
صعد لكي ذبنا إليه ن ا نطرح سقطة ا طية.
ليت كل واحد يقدم له كل شيء، ويص مثمراً كل شيء،
للذي بذل نفسه فديةً عنا من أجل مصا تنا!
لكن ليس أحد يقدم شيئاً مثل من يقدم نفسه وله دراية بسر (ا سيح)،
فيص من أجله كل ما صار هو من أجلنا!]

العظة الأو : ٥

He Was Tempted that We Might Conquer

Let us become like Christ, since Christ became like us. Let us become like God [1] for His sake, since He for ours became Man. He assumed the worse that He might give us the better; He became poor that we through His poverty might be rich (2 Cor. 8:9). He took upon Him the form of a servant that we might receive back our liberty. He came down that we might be exalted; He was tempted that we might conquer. He was dishonoured that He might glorify us. He died that He might save us. He ascended that He might draw to Himself us, who were lying low in the Fall of sin. Let us give *all,* offer *all,* to Him Who gave Himself a Ransom and Reconciliation for us. But one can give nothing like oneself, understanding the Mystery, and becoming for His sake all that He became for ours.

Oration I, *on Easter*; NPNF, 2nd Ser.; Vol. VII, p. 203.

---

1 Litt. "Let us become gods."

****

ἐκ τοῦ ῾Αγίου Γρηγορίου τοῦ Θεολόγου

Γενώμεθα ὡς Χριστὸς, ἐπεὶ καὶ Χριστὸς ὡς ἡμεῖς· γενώμεθα θεοὶ δι᾽ αὐτὸν, ἐπειδὴ κἀκεῖνος δι᾽ ἡμᾶς ἄνθρωπος. Προσέλαβε τὸ χεῖρον, ἵνα δῷ τὸ βέλτιον· ἐπτώχευσεν, ἵν᾽ ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· δούλου μορφὴν ἔλαβεν, ἵνα τὴν ἐλευθερίαν ἡμεῖς ἀπολάβωμεν· κατῆλθεν, ἵν᾽ ὑψωθῶμεν· ἐπειράσθη, ἵνα νικήσωμεν· ἠτιμάσθη, ἵνα δοξάσῃ· ἀπέθανεν, ἵνα σώσῃ· ἀνῆλθεν, ἵν᾽ ἑλκύσῃ πρὸς ἑαυτὸν ἡμᾶς κάτω κειμένους ἐν τῷ τῆς ἁμαρτίας πτώματι. Πάντα διδότω τις, πάντα καρποφορείτω τῷ δόντι ἑαυτὸν λυτρὸν ὑπὲρ ἡμῶν καὶ ἀντάλλαγμα· δώσει δὲ οὐδὲν τοιοῦτον οἷον ἑαυτὸν τοῦ μυστηρίου συνιέντα, καὶ δι᾽ ἐκεῖνον πάντα ὅσα ἐκεῖνος δι᾽ ἡμᾶς γενόμενον.

SC 247, 78.

الصوم والتجربة على ا بل (٤)

للقديس يوحنا ذه الفم:

صوم ا سيح وأدوية ا لاص

■❍✞❍■

[ذا قد صام الرب ليس كأنه تاج للصوم بل ليعلمنا.
فحيث إن خطايانا القد ة السابقة للمعمودية قد نشأت من التعبد للبطن،
وكما أنه إذا شفى أحد إنساناً مريضاً وجعله معا ً،
يأمره بالامتناع عن تلك الأمور ال تسببت ا رض،
هكذا و ذا السبب بالذات قد بادر الرب بالصوم بعد معموديته.
فإن آدم بسبب عدم انضباط بطنه قد أُخرج من الفردوس،
وهذه الرذيلة أيضاً هي ال تسببت الفيضان أيام نوح،
وأيضاً نزول نار من السماء على سدوم،
فمع أن أهل سدوم كانوا مدان بالزنا،
إلا أن أصل كل العقوبات ينشأ من هنا (أي من التعبد للبطن)،
الأمر الذي نوه عنه حزقيال قائلاً:
«هذا هو إ سدوم، أ م بالك ياء وبالشبع من ا بز
وبا لذات قد تنعموا» (حز ١٦: ٤٩ حسب السبعينية).
وهكذا اليهود أيضاً اقترفوا أعظم الشرور وا رفوا للإ
بسبب السكْر والتلذذ بالأطعمة (خر ٣٢: ٦).
فلهذا السبب بالذات قد صام الرب أربع يوماً
مظهراً لنا أدوية ا لاص.]

عظة ١٣ تفس مت ٤: ٢

St. John Chrysostom

The Fasting of Christ and the Medicines of our Salvation

Τί οὖν ἄρα βούλεται λέγων *"θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες;"* φαμὲν τοίνυν ὅτι τοῦ προπάτορος Ἀδὰμ τὴν δοθεῖσαν αὐτῷ πατήσαντος ἐντολὴν καὶ τῶν θείων ἀλογήσαντος νόμων ἐγκαταλέλειπταί πως ἡ ἀνθρώπου φύσις παρὰ θεοῦ, γέγονε δὲ καὶ ἐπάρατος διὰ τοῦτο καὶ θανάτῳ κάτοχος· ἐπειδὴ δὲ τὸ πεπονθὸς ἀναστοιχειώσων εἰς ἀφθαρσίαν ἐπεδήμησεν ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἐπελάβετό τε σπέρματος Ἀβραὰμ καὶ ὡμοιώθη τοῖς ἀδελφοῖς, ἔδει μετὰ τῆς ἀρχαίας ἐκείνης ἀρᾶς καὶ τῆς ἐπεισάκτου φθορᾶς καταλῆξαι τὴν ἐγκατάλειψιν ἣν ὑπέμεινεν ἐν ἀρχαῖς ἡ τοῦ ἀνθρώπου φύσις. ὡς οὖν εἷς ὑπάρχων τῶν ἐγκαταλελειμμένων, καθὸ καὶ αὐτὸς παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκός, τὸ *"ἵνα τί με ἐγκατέλιπες"* φησίν, ὅπερ ἦν λύοντος ἐναργῶς τὴν συμβᾶσαν ἡμῖν ἐγκατάλειψιν καὶ οἷον ἐκδυσωποῦντος ἐφ᾽ ἑαυτῳ τὸν πατέρα καὶ καλοῦντος εἰς εὐμένειαν τὴν ἐφ᾽ ἡμῖν ὡς ἐφ᾽ ἑαυτῳ τε καὶ πρώτῳ. παντὸς γὰρ ἡμῖν ἀγαθοῦ γέγονεν ὁ Χριστὸς καὶ ἀρχὴ καὶ πρόξενος, ὥστε κἂν εἴ τι λέγοιτο λαβεῖν ἀνθρωπίνως παρὰ τοῦ πατρός, τοῦτο τῇ ἡμετέρᾳ προυξένησε φύσει, πλήρης ὑπάρχων αὐτὸς καὶ οὐδενὸς τὸ παράπαν ἐπιδεὴς ὡς θεός.

PG 76, 1357; ACO 1,1,5.34-35

للقديس ك لس الكب :

كيف صلب إنساننا العتيق مع ا سيح؟

■❍✞❍■

[ينبغي أن نبحث باهتمام ما هو إنساننا العتيق،
وما هو جسد ا طية الذي يبطَل، وبأية كيفية صلب مع ا سيح. ...
الرسول يقصد من "جسد ا طية" ومن "إنساننا العتيق" ا سد الترا
الذي له حتمية الفساد سب حالته القد ة ال آدم.
فقد حكم علينا بذلك آدم أولاً، وتفاقم الداء حبة الشهوات،
لأن هذه حالة ا سد سب طبعه من غرائزه ا غروسة فيه.
فكيف إذن صلب مع ا سيح؟
لقد صار الابن الوحيد إنساناً واقت لنفسه ا سد الترا
الذي كان كوماً عليه با وت، كما قلت، سب حالته القد ة آدم،
والذي صار كأنه يتمخّض بسبب غرائزه ا غروسة فيه يل جارف للخطية.
لكن ناموس ا طية انتفى ا سد ا قدّس كلي الطهر الذي للمسيح
فنحن لا نقول قط إن أية آلام بشرية معيبة كانت تتحرّك فيه،
إلا فقط ما لا لوم فيه، مثل ا وع والعطش والتعب
وكل ما يصنعه فينا ناموس الطبيعة بدون عيب.
ومع أن ناموس ا طية يتحرّك قط ا سيح
بسبب تفوقه بقوة اللوغوس الذي كان يدبره،
إلا أن طبيعة ا سد حد ذاتا، ح حينما نعت ها ا سيح،
فإننا لا دها تلفة عن طبيعتنا.

(بقية القول الصفحة القادمة)

How Our Old Man Was Crucified with Christ

We must closely examine what is *our old man*, what is the *body of sin that is done away with*, and how it was *crucified with Christ* (Cf. Rom 6:6)… The Apostle means by the *body of sin* and *our old man* the body of dust that has the inevitability of decaying according to its obsoleteness in Adam. For we were condemned as such at the beginning through Adam. The ill was aggravated by our carnal appetites, for this was an inbred condition of the flesh according to nature.

How was it crucified with Christ? The Only Son became man and acquired the body made of dust, that was condemned to death, as I have already mentioned, in accordance with its obsoleteness in Adam, and became as if in labor, due to its ingrained appetites having an overwhelming tendency to sin. But the law of sin was incompatible with Christ's totally holy body. We do not say at all that anything due to the human passions stirred within Him except that for which there is no blame, such as hunger, thirst, fatigue, and every thing the law of nature creates in us without fault. Although the law of sin did not stir whatsoever in Christ due to His superiority through the power and strength of the Logos in Him; yet we find nature's body in itself, even when we consider it in Christ, no different to ours.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

Τίς ὁ παλαιὸς ἡμῶν ἄνθρωπος, ποῖον δὲ δὴ τὸ σῶμα τῆς ἁμαρτίας τὸ καταργούμενον, καὶ τίνα δὴ τρόπον συνεσταυρώθη Χριστῷ, πολυπραγμονεῖν ἀναγκαῖον·... σῶμα τοίνυν ἁμαρτίας καὶ παλαιὸν ἡμῶν ἄνθρωπον, τὸ σῶμα λέγει τὸ ἀπὸ γῆς, ἔχον ὥσπερ ἐκ παλαιότητος τῆς ἐν Ἀδὰμ τὸ καταφθείρεσθαι δεῖν· καὶ καταδεδικάσμεθα γὰρ ἐν ἐκείνῳ καὶ πρώτῳ· ἠῤῥωστηκὸς δὲ πρὸς τούτῳ καὶ τὸ φιλήδονον· ἔχει γὰρ οὕτω κατὰ φύσιν ἡ σὰρξ ἐξ ἐμφύτων κινημάτων. πῶς οὖν ἄρα συνεσταύρωται τῷ Χριστῷ; γέγονεν ἄνθρωπος ὁ Μονογενὴς, καὶ σάρκα τὴν ἀπὸ γῆς ἠμπέσχετο καταῤῥωστοῦσαν, ὡς ἔφην, ὡς ἐκ παλαιότητος τῆς ἐν Ἀδὰμ τὸν θάνατον· ὠδίνουσαν δὲ ὥσπερ ἐν ἑαυτῇ καὶ τὸ ἐξ ἐμφύτων κινημάτων ἀκονᾶσθαι πρὸς ἁμαρτίαν· κατηρεμεῖ μὲν τῆς ἁμαρτίας ὁ νόμος ἐν τῇ ἁγίᾳ καὶ πανάγνῳ σαρκὶ τοῦ Χριστοῦ· καὶ οὔ τι που κεκινῆσθαί φαμεν ἐν αὐτῷ τὰ τῶν ἀνθρωπίνων παθῶν ἐκτοπώτερα, πλὴν ὅσα τὴν κίνησιν ἀδιάβλητον ἔχει, τὸ πεινῆν δὴ λέγω καὶ τὸ διψῆν καὶ τὸ κοπιᾶν καὶ ὅσα καὶ παρ' ἡμῖν ὁ τῆς φύσεως νόμος ἔξω τετήρηκεν αἰτίας· ὅμως εἰ καὶ μὴ κεκίνηται τυχὸν ἐν Χριστῷ τῆς ἁμαρτίας ὁ νόμος, διά τοι τὸ κατηυνᾶσθαι τῇ τοῦ οἰκονομοῦντος Λόγου δυνάμει τε καὶ ἐνεργείᾳ, ἀλλ' οὖν ὅταν αὕτη καθ' ἑαυτὴν ἡ τῆς σαρκὸς δοκιμάζεται φύσις, κἂν εἰ ἐν Χριστῷ νοοῖτο τυχὸν, οὐχ ἑτέραν οὖσαν παρὰ τὴν ἡμῶν εὑρήσομεν.

و ن قد صلبنا معه ّا صلب جسده الذي كانت فيه كل طبيعتنا،
ثل ما حدث آدم أنه ّا لُعن اعتلّت الطبيعة كلها باللعنة،
هكذا يقال أيضاً إننا أُقمنا مع ا سيح وأُجلسنا معه السماويات.
لأن عمانوئيل مع أنه يفوقنا كإله، لكن من حيث إنه صار مثلنا،
فهو يعتـ واحداً منّا قد قام وصار جليساً مع ا الآب.
هكذا أيضاً صلب معه إنساننا العتيق،
وا لت بقيامته قوة اللعنة القد ة،
و"بطل جسد ا طية" (رو٦:٦)،
ولا أعـ ا سد بصفة مطلقة، ولكن الشهوات ا غروسة فيه،
الـ كانت دائماً تقلق الذهن بالأمور ا خزية،
وتلقيه ط و أة ا لذات الترابية.
وأمّا أن هذه الأمور قد ققت ا سيح لصا الطبيعة البشرية،
فكيف يشك أحد ذلك بينما يقول ق. بولس بوضوح:
«ما كان الناموس عاجزاً عنه فيما كان ضعيفاً با سد،
فا إذ أرسل ابنه شبه جسد ا طية، ولأجل ا طية،
دان ا طية با سد» (رو٨: ٣).
أترى إذن كيف بطل جسد ا طية؟
لقد دينت ا سد شوكة ا طية وماتت أولاً ا سيح،
انتقلت διαβέβηκε هذه النعمة من خلاله وبواسطته إلينا أيضاً]

تفسـ رو٦:٦

We were crucified with Him when His body, with all our nature in Him, was crucified, like that which happened in Adam when he was cursed: all nature suffered the curse. It is thus said that we were also raised with Christ and were made to sit with Him in the heavens, because although Emmanuel is above us as God, but in that He became like us, He is considered one of us raised and seated with God the Father. In the same way the old man was crucified with Him and through His resurrection the power of the old curse was broken "*that the body of sin might be done away with*" (Rom 6: 6). I do not mean the body unrestrictedly, but the ingrained carnal appetites within it, that always disturbed the mind with shameful matters, casting it in the mud and mire of the delights of dust.

As for these matters that were fulfilled in Christ to the benefit of human nature, how can anyone doubt it when St Paul clearly declares: "*For what the law could not do in that it was weak through the flesh, God did by sending His own Son in the likeness of sinful flesh, on account of sin: He condemned sin in the flesh*" (Rom 8: 3).

Do you see then how the flesh of sin was done away with? The thorn of sin was condemned in the flesh and first died in Christ, then through Him and by Him this grace was also transferred to us.

On Romans 6:6.

****

Συνεσταυρώμεθα τοίνυν αὐτῷ, σταυρωθείσης αὐτοῦ τῆς σαρκὸς, καὶ οἷον ὅλην ἐχούσης ἐν ἑαυτῇ τὴν φύσιν· καθάπερ ἀμέλει καὶ ἐν Ἀδὰμ, ὅτε γέγονεν ἐπάρατος, ὅλη νενόσηκε τὴν ἀρὰν ἡ φύσις· οὕτω γὰρ καὶ συνεγηγέρθαι λεγόμεθα τῷ Χριστῷ, συγκαθῆσθαι δὲ καὶ ἐν τοῖς ἐπουρανίοις· εἰ γὰρ καί ἐστιν ὑπὲρ ἡμᾶς ὡς Θεὸς ὁ Ἐμμανουὴλ, ἀλλ᾽ οὖν ἐπεί τοι γέγονε καθ᾽ ἡμᾶς ὡς εἷς ἐξ ἡμῶν, ἐγήγερταί τε καὶ συνεδρεύει τῷ Θεῷ καὶ Πατρί. συνεσταυρώθη τοίνυν ὁ παλαιὸς ἄνθρωπος· λέλυται γὰρ διὰ τῆς ἀναστάσεως τῆς ἀρχαίας ἐκείνης ἀρᾶς ἡ δύναμις· κατήργηται δὲ καὶ τὸ σῶμα τῆς ἁμαρτίας, καὶ οὐχὶ δὴ πάντως ἡ σὰρξ, ἀλλὰ τῶν ἐν αὐτῇ κινημάτων ἡ ἔμφυτος ἀγριότης, κατασείουσα μὲν ἀεὶ πρὸς τὰ αἰσχίω τὸν νοῦν, ἐνιεῖσα δὲ ὥσπερ πηλῷ καὶ τέλμασι ταῖς γεωδεστέραις ἡδοναῖς· ὅτι γὰρ ἐν Χριστῷ καὶ τοῦτο κατώρθωται τῇ ἀνθρωπείᾳ φύσει, πῶς ἂν ἐνδοιάσειέ τις, Παύλου λέγοντος ἐναργῶς *"Τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί;"* ὁρᾷς οὖν ὅπως τὸ τῆς ἁμαρτίας κατήργηται σῶμα; κατακέκριται γὰρ ἐν τῇ σαρκὶ τῆς ἁμαρτίας τὸ κέντρον· καὶ νενέκρωται μὲν ἐν πρώτῳ Χριστῷ, διαβέβηκε δὲ παρ᾽ αὐτοῦ τε καὶ δι᾽ αὐτοῦ καὶ εἰς ἡμᾶς ἡ χάρις.

PG 74, 796; Pusey 3,191-193.

للقديس أنبا مقار:

الشركة مع ا سيح الأتعاب والتجارب

■❍✞❍■

[فقركم و ردكم هذا لا ترخوا اشتياقكم،
بل خذوا مثالاً وهدفاً لكم، الرب الذي سلك هكذا.
فحينما يتألّم جسدك وتتعب،
تذكر جسد الرب كيف ضرب من بيلاطس،
وكيف كان يتعب أسفاره.
حينما تعتاز إ بيت،
تذكر أن رب ا ليقة لّما جاء إ الأرض قال:
«إن ابن الإنسان ليس له أين يسند ويريح رأسه» (لو٩: ٥٨).
وحينما شي، تذكر كيف كانت قدما الرب معفرت بالتراب
كل زمانه على الأرض ما عدا ا رة الوحيدة
ال فيها جلس على الأتان من أجل تكميل النبوة.
وحينما تلئ عيناك بالدموع،
اذكر أن الرب بكى على سقطتك وصلي إ الآب
بصراخ شديد ودموع كث ة لكي تفلت أنت من ا وت.
وحينما يهينك الناس،
اذكر اللطمات والبصاق ال اقتبلها، واص مذلتك.
كذلك رقادك على الأرض ليس أصعب
من إكليل الشوك الذي وضعوه على رأسه!]

العظة ٦: ٤ من ا موعة الثالثة

Fellowship with Christ in Hardships and Tribulations

Do not be dispirited in your poverty and indigence but take as an example and aim the Lord who fared thus. When your body suffers and you wear down remember the Lord's body which was lashed by Pilate, and how it had been worn out with travel. When you are destitute of a home remember that the Lord of creation said when he came to earth, "the Son of man has nowhere to lay his head" (Lk 9:58). When you walk remember that the Lord's feet were covered with dust throughout his life on earth except for the only time when for the sake of the prophecy he sat on an ass. When your eyes are filled with tears remember that the Lord wept over your fall and prayed to the Father with loud cries and tears that you might escape death. When people insult you remember the slaps and the spitting which he received and have patience in your misery. Neither is your sleep on the floor more painful than the crown of thorns which they placed on his head.

Spiritual Homilies, Collection III, Homily 6,4.

****

ἐκ τοῦ ἁγίου Μακαρίου

Ἐν ταύτῃ ὄντες τῇ πτωχείᾳ καὶ τῇ γυμνότητι μὴ γίνεσθε ἀπρόθυμοι, ἔχοντες ὑπογραμμὸν καὶ σκοπὸν τὸν κύριον τὸν οὕτως διοδεύσαντα τὴν ὁδόν. ὅταν πονέσῃ σου τὸ σῶμα καὶ κοπιάσῃς, μνημόνευσον τοῦ σώματος τοῦ κυρίου, πῶς ὑπὸ Πιλάτου ἐτύπτετο καὶ ἔκαμνεν ὁδοιπορίαις. ὅταν λείψῃ σοι οἶκος, μνημόνευσον, ὅτι ὁ κύριος τῶν κτισμάτων ἐλθὼν ἐπὶ τῆς γῆς τοῦτο εἶπεν· *"ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ καὶ ἀναπαῇ."* ὅταν περιπατήσῃς, μνημόνευσον ὅτι οἱ πόδες τοῦ κυρίου κεκονιορτημένοι ἦσαν, ὅσον χρόνον ἐποίησεν ἐπὶ τῆς γῆς, εἰ μὴ μόνον διὰ τὴν προφητείαν ἅπαξ ἐπ' ὄνου ἐκαθέσθη. ὅταν πληρώσῃς σου τοὺς ὀφθαλμοὺς δακρύων, μνημόνευσον ὅτι ὁ κύριος ἔκλαιε τὴν πτῶσίν σου προσευχόμενος πρὸς τὸν πατέρα μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων πολλῶν, ἵνα ῥυσθῇς ἐκ τοῦ θανάτου. ὅταν μυκτηρίζωσί σε οἱ ἄνθρωποι, πρόσχες τοῖς ῥαπίσμασιν αὐτοῦ καὶ τοῖς ἐμπτύσμασιν αὐτοῦ, καὶ ὑπόμεινον ἐν τῇ ταπεινώσει σου. ὁμοίως δὲ καὶ ἡ χαμευνία σου οὔκ ἐστι σκληροτέρα τοῦ ἀκανθίνου στεφάνου τοῦ ἐπιτεθέντος ἐπὶ τῆς κεφαλῆς αὐτοῦ.

SC 275, 112-114.

الصليب والفداء (٣٢)

للقديس أنبا مقار الكب :

الشركة مع ا سيح آلامه و ده

■❍✞❍■

[والرب يناقش النفس ويريها مواضع ا سام قائلاً:
انظري علامات ا سام ، انظري ا لدات،
انظري البصاق، انظري ا روح،
هذه كلها تأ ت ا من أجلك...
لأ حب للبشر جئت أطلبك وأُحررك،
لأ منذ البدء جبلتك على صور ،
وخلقتك لتكو عروساً ...
والرب يظهر نفسه ا على هيئت :
على هيئة جروحه، وعلى هيئة نوره ا يد.
والنفس ترى الآلام ال احتملها لأجلها،
وترى ا د الفائق الذي لنوره الإ ي،
فتتغير إ تلك الصورة عينها،
من د إ د كما من الرب الروح.
وتتقدم كلتا ا يئت : هيئة آلامه، وهيئة نوره ا يد،
ح تنسى بنوعٍ ما طبيعتها ا اصة، إذ تكون سوكة با ،
و تزجة ومتحدة بالإنسان السماوي وبالروح القدس،
بل تص هي نفسها روحاً.]

ا موعة الثالثة من العظات، عظة ٢:٣

The Fellowship with Christ in His Sufferings and His Glory

The Lord discourses with the soul and shows her the marks of the nails saying, "See the marks of the nails, see the stripes, see the spitting and the wounds. All this I have suffered for your sake ... for in my love for mankind I have come to seek you and set you free. From the beginning I have created you in my own image, so that you may be a bride to me"… The Lord reveals himself to her in two forms: the form of his wounds and that of his glorious light. The soul observes the sufferings he has borne for her sake, and observes the transcendent glory of his divine light, and so changes into the very same image from glory to glory as from the Lord who is the Spirit. She proceeds in both forms: the form of his sufferings and that of his glorious light in such a manner that she forgets her own nature, for she would be captive to God, mingled with and united to the heavenly Man and the Holy Spirit. She even becomes herself a Spirit.

Collection III, Homily 3, 2

****

ἐκ τοῦ ἁγίου Μακαρίου

Κρίνεται δὲ μετ᾽ αὐτῆς (τῆς ψυχῆς) δεικνύων αὐτῇ τοὺς τύπους τῶν ἥλων καὶ λέγων· ἴδε οἱ τύποι τῶν ἥλων, ἴδε αἱ μάστιγες, ἴδε τὰ ἐμπτύσματα, ἴδε τὰ τραύματα. ταῦτα πάντα διά σε πέπονθα ... κἀγὼ τῇ ἐμῇ φιλανθρωπίᾳ ἦλθον ἐπὶ τὴν σὴν ζήτησιν καὶ ἐπὶ τὴν σὴν ἐλευθερίαν, ἐπειδὴ ἀπ᾽ ἀρχῆς εἰκόνα ἐμὴν ἐποίησά σε καὶ εἰς ἐμὴν νύμφην ἔκτισά σε ... Δείκνυσιν αὐτῇ ἑαυτὸν ὁ κύριος ἐν δυσὶ προσώποις, ἔν τε τοῖς στίγμασιν αὐτοῦ καὶ ἐν τῇ δόξῃ τοῦ φωτὸς αὐτοῦ, καὶ θεωρεῖ ἡ ψυχὴ τὰ πάθη, ἃ ὑπὲρ αὐτῆς ἔπαθεν, θεωρεῖ δὲ καὶ τὴν ὑπέρλαμπρον δόξαν τοῦ ἐνθέου φωτὸς αὐτοῦ, τὴν αὐτὴν εἰκόνα μεταμορφουμένη ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος καὶ ἐν ἀμφοτέροις τοῖς προσώποις προκόπτουσα, ἔν τε τῷ τοῦ πάθους καὶ ἐν τῷ τοῦ ἐνδόξου φωτός, τρόπον τινὰ λήθην λαμβάνει τῆς φύσεως καταλαμφθεῖσα ὑπὸ τοῦ θεοῦ καὶ συγκραθεῖσα καὶ μιγεῖσα τῷ ἐπουρανίῳ ἀνθρώπῳ καὶ τῷ πνεύματι τῷ ἁγίῳ, πνεῦμα καὶ αὐτὴ γεναμένη.

SC 275, 88-90.

الصليب والفداء (٣٣)

للقديس أنبا مقار:

الشركة آلام الرب با ب الإ ي

■❍✞❍■

[ب على النفس أن تكن لعريسها ا سيح ا قترن ا
شوقاً ثل هذا ا قدار وحبا مثل هذا،
كزوجة حكيمة محبة لرجلها
تراه يلقى مراراً السجن أو القيود أو عذابٍ آخر،
فتظهر بسبب بتها له وكأ ا مقيدة معه ومشتركة آلامه؛
بل ومتوجعة ومعذبة أحشائها أكثر منه.
فكما كانت القديسة مر الواقفة بقرب الرب ا صلوب
تبكي بدموع غزيرة بسبب لوعة ا ب، فتظهر كأ ا مصلوبة معه؛
هكذا أيضاً النفس ال أحبت الرب
وقبلت نار عشقه وسعت با ق لأن تتحد بعريسها ا سيح،
ينبغي أن تكون شريكة آلامه،
وأن فظ دائماً أمام عينيها جروحه ال جرح ا من أجلها،
وتذكر كل ح كل ما تألم به لأجلها
ذاك الذي هو غ مستهدف للأ ،
وكيف تعذب لأجلها ذاك ا ترفع عن كل عذاب،
وكيف أنه وهو صورة ا أخذ صورة عبد.
وهكذا تكون متألمة معه ومربوطة به كل شيء،
لأ ا ذا تتمجد أيضاً معه.]

العظة الثالثة من ا موعة الثالثة

Sharing in the Lord's Sufferings

The soul must have for Christ, the spouse who has been given to it, the same affection and the same love that a worthy and loving wife often feels when she sees her husband thrown into prison or in chains, or subjected to any other torture. Because of her love for him she seems to be in chains and to suffer with him and her tenderness makes her suffer more cruelly than the one imprisoned. In the same way that Mary, standing by the Savior on the cross, was weeping and sobbing under the sting of her affection and seemed to be crucified with Him, so the soul that has set out to love the Lord, has conceived for Him an ardent love and tries to be truly united with Christ her spouse, must also participate in his sufferings by keeping always before her eyes and present to the memory the wounds that were inflicted on Him for her: everything which He, the Impassible (the one above suffering), suffered for her and how He, who is above every punishment, has been chastised for her, and how, although He was in the form of God, He took the form of a slave. Thus she will suffer constantly and will be in chains with Him, for in this way she will also be glorified with Him.

Spiritual Homilies, Collection III, Homily 3, 2-3.

****

ἐκ τοῦ ἁγίου Μακαρίου

Τοσοῦτον δὲ πόθον καὶ τοσοῦτον ἔρωτα ὀφείλει ἔχειν ἡ ψυχὴ πρὸς τὸν ἡρμοσμένον αὐτῇ νυμφίον Χριστόν, ὅσον γυνὴ σώφρων καὶ φίλανδρος ὁρῶσα πολλάκις τὸν ἄνδρα ἐν φυλακῇ ἢ ἐν δεσμοῖς ἢ ἐν ἑτέρᾳ κολάσει διὰ τὴν πρὸς αὐτὸν ἀγάπην συνδεδέσθαι καὶ συμπάσχειν δοκεῖ καὶ μᾶλλον αἰκίζεται βασανιζομένη τοῖς σπλάγχνοις ἢ ὁ κατεχόμενος. καὶ ὃν τρόπον Μαρία τοῦ κυρίου σταυρουμένου παρεστῶσα ἐδάκρυε κλαίουσα διὰ τὸ τοῦ πόθου κέντρον καὶ συσταυροῦσθαι ἐδόκει, οὕτω καὶ ψυχὴ ἡ ἀγαπήσασα τὸν κύριον καὶ ζῆλον φίλτρου ἀναλαβοῦσα καὶ σπεύδουσα ἐν ἀληθείᾳ συνάπτεσθαι τῷ ἑαυτῆς νυμφίῳ Χριστῷ ὀφείλει συμπάσχειν τοῖς παθήμασιν αὐτοῦ, πρὸ ὀφθαλμῶν ἀεὶ ἔχουσα καὶ μεμνημένη τῶν στιγμάτων αὐτοῦ τῶν δι᾽ αὐτὴν γενομένων, ὅσα δι᾽ αὐτὴν πέπονθεν ὁ ἀπαθής, καὶ πῶς δι᾽ αὐτὴν ἐκολάσθη ὁ πάσης ἀνώτερος κολάσεως, καὶ πῶς ἐν μορφῇ θεοῦ ὢν μορφὴν δούλου ἀνέλαβεν, καὶ οὕτως ἐν πᾶσι συμπάσχειν καὶ συνδεδέσθαι αὐτῷ· οὕτω γὰρ καὶ συνδοξασθήσεται.

SC 275, 84-86.

الصليب والفداء (٣٤)

للقديس أنبا مقار:

إن ا نفسه اتضع من أجلك
أفلا تتضع أنت من أجل نفسك؟!

■❍✞❍■

[إن الرب نفسه الذي هو الطريق والإله،
قد جاء ليس من أجل نفسه بل من أجلك،
لكي يعطيك نفسه مثالاً كل عمل صا ؛
فانظر إ أي اتضاع بلغ ا «أخذ شكل العبد» (٧:٢)،
وهو الإله ابن ا ، وا لمك ابن ا لمك...
لكن لا تقر جلاله الإ ي
حينما تراه الظاهر متضعاً كشبهنا،
لأنه من أجلنا صار هكذا وليس من أجل نفسه...
فما أعظم اتضاعه حينما بصقوا وجهه،
ووضعوا عليه إكليل الشوك ولطموه!...
فإن كان ا قد نزل إ مثل هذه الإهانات والآلام والاتضاع،
فأنت ذو الطبيعة الطينية بل وا ائتة،
مهما وضعت ذاتك،
فلن اري أبداً (اتضاع) سيدك!
إن ا نفسه اتضع من أجلك،
أفلا تتضع أنت من أجل نفسك؟!!]

عظة ٢٥:٢٦و٢٦

God for Your Sake Humbled Himself and You Will not Be Humbled for Your Own Sake?!

The Lord Himself who is the Way and is God, after He came not on His own behalf but for you so that He might be an example for you of everything good, see, He came in such humility, taking "the form of a slave" (Ph. 2:7), He who is God, the Son of God, King, the Son of King . . . But do not despise His divine dignity, as you look at Him, externally humiliated as one like us. For our sakes He so appeared, not for Himself ...

When they spat in His face and placed a crown of thorns on Him and hit Him, what more humiliation could He have yet undergone? ... If God condescends to such insults and sufferings and humilation, you, who by nature are clay and are mortal, no matter how much you are humiliated, will never do anything similar to what your Master did. God, for your sake, humbled Himself and you will not be humbled for your own sake?!

Homily 26, 25-26.

****

ἐκ τοῦ ἁγίου Μακαρίου

Αὐτὸς ὁ Κύριος, ὅς ἐστιν ὁδὸς καὶ Θεός, ἐλθὼν οὐ δι᾽ ἑαυτόν, ἀλλὰ διὰ σέ, ἵνα σοι τύπος γένηται παντὸς ἀγαθοῦ. Βλέπε εἰς ποίαν ταπείνωσιν ἦλθε, μορφὴν δούλου λαβών, Θεὸς Υἱὸς Θεοῦ, Βασιλεὺς Υἱὸς βασιλέως...

Ἀλλὰ μὴ καταφρονήσῃς τοῦ θεϊκοῦ ἀξιώματος, βλέπων αὐτὸν ἔξωθεν τεταπεινωμένον ὡς ὅμοιον ἡμῖν. Δι᾽ ἡμᾶς οὕτως ἐφάνη, οὐ δι᾽ ἑαυτόν....

Ὅτε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐπέθηκαν αὐτῷ ἀκάνθινον στέφανον καὶ ἐρράπισαν αὐτόν, ποίαν οὐχ ὑπερέβη ταπείνωσιν ; ... Εἰ δὲ ὁ Θεὸς εἰς τοσαύτας ὕβρεις καὶ πάθη καὶ ταπείνωσιν κατῆλθε, σὺ ὁ φύσει βόρβορος καὶ φύσεως θνητῆς, ὅσα ἂν ταπεινωθῇς, οὐδὲν ὅμοιον τῷ Δεσπότῃ σου ποιήσεις· Ὁ Θεὸς διὰ σὲ ἑαυτὸν ἐταπείνωσε, καὶ σὺ διὰ σεαυτὸν οὐ ταπεινοῦσαι ; ΒΕΠ 41, 281-282.





القيامة والصعود

للقديس إغناطيوس:

ا ياة ا سيح القائم
هي وحدها ا ياة ا قيقية

■❍✞❍■

[تصاموا عن أي أحد يكلمكم
عن شيء آخر غ يسوع ا سيح ...
الذي قام حقًّا من ب الأموات
إذ أقامه الآب،
الذي سيقيمنا ن أيضاً على مثاله
ن ا ؤمن به يسوع ا سيح
الذي **بدونه ليست لنا ا ياة ا قيقية ...**

الرسالة إ ترالياً: ١٩

فلنكن فقط موجودين ا سيح يسوع
للحياة ا قيقية،
وخارجاً عنه لا تدعوا شيئاً ذب انتباهكم!

الرسالة إ أفسس: ١١

Life in the Risen Christ is the Only True Life

Stop your ears, therefore, when any one speaks to you at variance with Jesus Christ, ... who was truly raised from the dead, His Father quickening Him, even as after the same manner His Father will so raise up us who believe in Him by Christ Jesus, apart from whom we do not possess the true life.

Letter to the Trallians, 9

Only let us be found in Christ Jesus unto the true life. Apart from Him, let nothing attract you.

Letter to the Ephesians, 11

****

ἐκ τοῦ ἁγίου Ἰγνατίου

Κωφώθητε οὖν, ὅταν ὑμῖν χωρὶς Ἰησοῦ Χριστοῦ λαλῇ τις· ... ὃς καὶ ἀληθῶς ἠγέρθη ἀπὸ νεκρῶν, ἐγείραντος αὐτὸν τοῦ πατρὸς αὐτοῦ, ὃς ι καὶ κατὰ τὸ ὁμοίωμα ἡμᾶς τοὺς πιστεύοντας αὐτῷ οὕτως ἐγερεῖ ὁ πατὴρ αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ, οὗ χωρὶς τὸ ἀληθινὸν ζῆν οὐκ ἔχομεν...

Μόνον ἐν Χριστῷ Ἰησοῦ εὑρεθῆναι εἰς τὸ ἀληθινὸν ζῆν. Χωρὶς τούτου μηδὲν ὑμῖν πρεπέτω.

Lightfoot, *The Apostolic Fathers,*
Part II, Vol. 2, p. 173-175; 61.

للقديس غريغوريوس النيسي:

انتقال القيامة من ا سيح إلينا

■❍✞❍■

[حيث إن طبيعتنا كانت تاجة أن تنتشل بكاملها من ا وت،
فكأ به د يده و الإنسان ا نطرح
وينحـ سبيل ذلك و جثتنا،
ويقترب إ هذه الدرجة من ا وت،
حـ يتلامس هو نفسه مع ا وت،
فيمنح مبدأ القيامة لطبيعتنا بواسطة جسده ا اص،
حـ يقيم معه الإنسان بكامله بفعل قوته.
وحيث أن جسده البشري ا امل اللاهوت
وا رتفع مع اللاهوت بالقيامة
يكن من عجنة أخرى غ عجنتنا؛
فكما دث أي جسم من أجسامنا
أن انفعال حاسة واحدة من ا سم
ينتشر أثره ا سم كله ا تحد ذا العضو،
هكذا قد حدث للطبيعة كلها بصفتها كائناً واحداً حيا،
أن قيامة الواحد منها (أي ا سد الإ ي الذي من نفس عجنتنا)
انتقلت منه إ ا ميع،
بسبب اتصال وا اد الطبيعة كلها
حـ امتدت (القيامة) من الواحد إ ا موع كله!]

العظة التعليمية الكـ ى ٣٢

His Resurrection Being Imparted to All of Us

Since, then, there was needed a lifting up from death for the whole of our nature, He stretches forth a hand as it were to prostrate man, and stooping down to our dead corpse, He came so far within the grasp of death as to touch a state of deadness, and then in His own body to bestow on our nature the principle of the resurrection, raising as He did by His power along with Himself the whole man. For since from no other source than from the concrete lump of our nature had come that flesh, which was the receptacle of the Godhead and in the resurrection was raised up together with that Godhead, therefore just in the same way as, in the instance of this body of ours, the operation of one of the organs of sense is felt at once by the whole system, as one with that member, so also the resurrection principle of this Member, as though the whole of mankind was a single living being, passes through the entire race, being imparted from the Member to the whole by virtue of the continuity and oneness of the nature.

The Great Catechetical Oration, 32
NPNF, 2nd Ser., Vol. V, p. 499.

****

ἐκ τοῦ Ἁγίου Γρηγορίου τῆς Νύσσης

Ἐπεὶ οὖν ὅλης ἔδει γενέσθαι τῆς φύσεως ἡμῶν τὴν ἐκ τοῦ θανάτου πάλιν ἐπάνοδον, οἱονεὶ χεῖρα τῷ κειμένῳ ὀρέγων διὰ τοῦτο πρὸς τὸ ἡμέτερον ἐπικύψας πτῶμα, τοσοῦτον τῷ θανάτῳ προσήγγισεν, ὅσον τῆς νεκρότητος ἅψασθαι καὶ ἀρχὴν δοῦναι τῇ φύσει τῆς ἀναστάσεως τῷ ἰδίῳ σώματι, ὅλον τῇ δυνάμει συναναστήσας τὸν ἄνθρωπον. ἐπειδὴ γὰρ οὐκ ἄλλοθεν, ἀλλ' ἐκ τοῦ ἡμετέρου φυράματος ὁ θεοδόχος ἄνθρωπος ἦν, ὁ διὰ τῆς ἀναστάσεως συνεπαρθεὶς τῇ θεότητι, ὥσπερ ἐπὶ τοῦ καθ' ἡμᾶς σώματος ἡ τοῦ ἑνὸς τῶν αἰσθητηρίων ἐνέργεια πρὸς ἅπαν τὴν συναίσθησιν ἄγει τὸ ἡνωμένον τῷ μέρει, οὕτως, καθάπερ ἑνός τινος ὄντος ζῴου πάσης τῆς φύσεως, ἡ τοῦ μέρους ἀνάστασις ἐπὶ τὸ πᾶν διεξέρχεται, κατὰ τὸ συνεχές τε καὶ ἡνωμένον τῆς φύσεως ἐκ τοῦ μέρους ἐπὶ τὸ ὅλον συνεκδιδομένη.

PG 45, 80.

القيامة والصعود (٣)

للقديس يوحنا ذه الفم:

نور قيامة ا سيح

■❍✞❍■

[الآن أضاءت علينا إشعاعات من نور ا سيح ا قدس،
وأشرقت علينا أضواء صافية من الروح القدس النقي،
وانفتحت علينا كنوز اوية من ا د والألوهة.
لقد ابتلع الليل الكثيف ا الك،
وانقشع الظلام الدامس واختفى ظل ا وت الكئيب.
ا ياة امتدت و لت كل واحد، وامتلأ ا ميع من النور غ ا دود.
الفجر ا ديد أشرق على ا ميع،
وا سيح العظيم القوي غ ا ائت
الذي قبل كوكب الصبح (مز١٠٩:٢) بل وقبل كل الأجسام ا ن ة،
صار يضيء الآن على ا ميع أكثر من الشمس.
بسبب ذلك أوجد لنا ن ا ؤمن به
يوماً جديداً مضيئاً عظيمًا أبديًا لا ينقص نوره،
إنه الفصح السري
الذي كانوا تفلون به رمزيًا الناموس،
ولكنه الآن اكتمل بالتمام ا سيح.
إنه الفصح العجيب، إبداع فضيلة ا وفعل قوته،
العيد ا قيقي والتذكار الأبدي الذي فيه نبع انعدام الآلام من الأ ،
وعدم ا وت من ا وت، وا ياة من الق ،
والشفاء من ا روح، والقيامة من السقوط،
والصعود إ أعلى (السموات) من ال ول إ أسفل (ا حيم)].

عظة فصحية من القرن الثا ، فوظة ضمن كتابات ق. يوحنا ذه الفم

St. John Chrysostom [1]

The Light of the Risen Christ

Now is the time when the blessed light of Christ sheds its rays; the pure rays of the pure Spirit rise and the heavenly treasures of divine glory are opened up. Night's darkness and obscurity have been swallowed up and the dense blackness dispersed in this light of day; crabbed death has been totally eclipsed. Life has been extended to every creature and all things are diffused in brightness. The dawn of dawn ascends over the earth and "He who was before the morning star" (Ps 109:2) and before the other stars, the mighty Christ, immortal and all powerful, sheds light brighter than the sun on the universe.

For all of us his faithful He has initiated a bright, new day, long, eternal, and unquenchable; it is the mystical Pascha, celebrated in figures under the Law but fulfilled in very truth by Christ; the marvellous Pascha, the wonder of divine virtue, the work of power, truly a feast, an everlasting memorial, impassibility born of suffering, immortality born of death, life born in the tomb, healing born from wounds, resurrection born from the fall, ascent to Heaven born from descent to Hell. *Paschal Homily*

(Message of the Fathers of the Church 4, 29.)

1.This homily is kept among the works of St. John Chrysostom, but is probably from the second century.

****

ἐκ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου

Ἱεραὶ μὲν ἤδη φωτὸς αὐγάζουσι Χριστοῦ ἀκτῖνες καὶ καθαροὶ καθαροῦ πνεύματος ἀνατέλλουσι φωστῆρες, οὐράνιοι δὲ δόξης καὶ θεότητος ἀνεῴγασι θησαυροί· νὺξ ἡ πολλὴ καὶ ἀμαυρὰ κατεπόθη καὶ τὸ ἀφανὲς σκότος ἐν αὐτῷ ἀνηλώθη καὶ ἡ ἀμειδῆ θανάτου συνεσκιάσθη σκιά. Ζωὴ τοῖς ὅλοις ἐφηπλώθη καὶ φωτὸς ἀπλήστου τὰ ὅλα γέμει, ἀνατολαὶ ἀνατολῶν ἐπέχουσι τὸ πᾶν καὶ ὁ πρὸ ἑωσφόρου καὶ φωστήρων, ἀθάνατος καὶ πολύς, ἐπανθεῖ μέγας Χριστὸς τοῖς ὅλοις ὑπὲρ ἥλιον. Καὶ διὰ τοῦτο μακρὰ καὶ αἰώνιος καὶ ἄσβεστος ἡμῖν ἐμπολιτεύεται πᾶσι τοῖς πεπιστευκόσιν αὐτῷ λαμπρὰ ἡμέρα, πάσχα τὸ μυστικόν, τυπικῶς μὲν διὰ νόμου λειτουργούμενον, ἐνεργῶς δὲ διὰ Χριστοῦ πληρώμενον, πάσχα τὸ θαυμαστόν, θάμβος θείας ἀρετῆς καὶ δυνάμεως ἔργον, ἀληθῶς ἑορτὴ καὶ μνημόσυνον αἰώνιον, ἐκ πάθους ἀπάθεια, ἐκ θανάτου ἀθανασία, ἐκ νεκρότητος ζωή, ἐκ πληγῆς ἴασις, ἐκ πτώσεως ἀνάστασις, ἐκ καθόδου ἀνάβασις. SC 27, 117.

للقديس يوحنا ذهـ الفم:

اليوم ارتفعنا إ السماء

■❍✞❍■

[اليوم قد صعد (ا سيح) باكورتنا إ السماء،
والذي ا ذ جسدنا ارتقى إ عرش الآب،
ليتمم مصا ة العبيد ويبطل العداوة القد ة،
ويهب البشر الأرضيـ السلام مع القوات السماوية.
اليوم صار من نصيبنا ا شترك الغلبة على الشياط ،
وا عالة، وا وائز والأكاليل وا د!
لذلك فلنتهلل يعًا ناظرين إ باكورة جنسنا جالسًا العلاء،
وإ طبيعتنا (ا سيح) وقد اعتلت العرش عن ا !...
تأمل، أيها ا بيب، إ أي حد صار صلاح إ نا
وتدبـ ه الذي لا ينطق به من و جنسنا،
الذي كان قد سقط من الفردوس بغواية إبليس،
وحكم عليه ثل تلك اللعنة الشاملة،
إ أي علو رفعنا،
وكيف ن الذين كنا سابقًا غـ مستحقـ للأرض،
اليوم ارتفعنا إ السماء.
وطبيعتنا ا سوبة فيما سبق غـ مستحقة للفردوس،
هذه قد ارتفعت إ ا لس الأول السماء (شخص ا سيح)،
والـ كانت ألعوبة يد الشياط ،
اليوم يسجد ا ا لائكة والقوات العلوية (ا سيح).]

عظة عيد الصعود

Today We Have Ascended into Heaven

Today [Christ] our First-fruits has ascended into heaven. He who assumed our flesh is risen to the Father's throne, so as to consummate the slaves' reconciliation, abolish the old enmity and grant the earthly humankind peace with the heavenly host. Today we have won victory over demons, we have won the prize, we have won rewards, crowns and glory! For this reason let us all rejoice, looking at the First-fruits of our race seated on high, and to our humanity [in Christ] which has ascended to the throne at the right hand of God!

Consider, Beloved, how far the goodness of our God now extends, and his ineffable economy toward our race, which has fallen from paradise by Satan's guile, and which was sentenced to such an eternal damnation, to what height [God] has raised us. We who were previously unworthy of the earth, today have ascended into heaven. Our nature which was not considered worthy of paradise has now been raised to first seat in heaven, and which was a toy in the hands of demons is now being worshipped [in the Person of Christ] by the angels and the hosts on high.

Homily on the Ascension

****

ἐκ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου

Σήμερον ἡ ἀπαρχὴ ἡμετέρα εἰς οὐρανὸν ἀνελήλυθεν, καὶ ὁ τὴν ἐξ ἡμῶν σάρκα ἀναλαβὼν, τὸν θρόνον κατείληφε τὸν πατρικὸν, ἵνα καταλλαγὴν πρὸς τοὺς δούλους ἐργάζηται, καὶ τὴν παλαιὰν ἔχθραν ἀνέλῃ, καὶ τὴν εἰρήνην τῶν ἄνω δυνάμεων τοῖς ἐπι γείοις ἀνθρώποις χαρίζηται. Κοινὰ γὰρ ἡμῶν σήμερον κατὰ τοῦ διαβόλου τὰ νικητήρια, κοινὰ τὰ βραβεῖα, κοινὰ τὰ ἔπαθλα, κοινοὶ καὶ οἱ στέφανοι, κοινὴ καὶ ἡ δόξα. Διὸ σκιρτήσωμεν ἅπαντες ὁρῶντες ἡμῶν τὴν ἀπαρχὴν ἄνω καθημένην, καὶ τὴν ἡμετέραν φύσιν τὸν ἐκ δεξιῶν τοῦ Θεοῦ καταλαμβάνουσαν θρόνον. ... Ἐννόει γὰρ, ἀγαπητὲ, ὅση τοῦ Θεοῦ ἡμῶν ἡ ἀγαθότης καὶ ἀπόῤῥητος οἰκονομία γέγονε περὶ τὸ γένος τὸ ἡμέτερον, τοῦ παραδείσου ἐκπεπτωκὸς διὰ τὴν ἀπάτην τοῦ διαβόλου, καὶ τοσαύτῃ ἀρᾷ καταδικασθὲν ἀθρόον εἰς ὅσον ὕψος ἀνήγαγεν, καὶ πῶς ἡμεῖς οἱ τῆς γῆς ἀνάξιοι φανέντες, τήμερον εἰς τὸν οὐρανὸν ἀνήχθημεν, καὶ ἡμετέρα φύσις ἡ καὶ τοῦ παραδείσου ἀναξία τὸ πρότερον νομισθεῖσα. Αὕτη γὰρ τοῦ οὐρανοῦ τὴν προεδρίαν ἀνείληφε, καὶ ἡ τῶν δαιμόνων γενομένη παίγνιον, σήμερον ὑπὸ ἀγγέλων καὶ τῶν ἄνω δυνάμεων προσκυνεῖται.

PG 52, 793; in TLG In ascensionem sermo 2.

للقديس أثناسيوس الرسو :

«لذلك رفّعه ا » لكي نرتفع ن فيه

■❍✞❍■

[كما أن ا سيح الذي يقدس ا ميع
يقول لأبيه إنه من أجلنا يقدس ذاته (يو ١٧: ١٩)،
ليس لكي يصـ اللوغس نفسه مقدساً،
بل لكي يقدسنا ن يعاً نفسه؛
هكذا أيضاً بنفس ا ع قيل إن «ا رفعه» (٢: ٩)،
ليس لكي يزداد هو الرفعة،
إذ أنه هو نفسه العلي،
بل لكي يصـ هو نفسه لنا برا (١كو ١: ٣٠)،
ولكي نرتفع ن فيه بل وندخل أبواب السموات
ال افتتحها هو أيضاً من أجلنا عندما قيل أمامه:
«ارفعوا أيها الرؤساء أبوابكم وارتفعي أيتها الأبواب الدهرية
فيدخل ملك ا د» (مز ٢٤: ٧).
و هذا أيضاً تكن الأبواب مغلقة أمامه هو،
إذ أنه هو الرب وخالق الكل،
بل من أجلنا ن أيضاً قد كُتب ذلك،
ن الذين كان باب الفردوس مغلقاً أمامنا].

ضد الأريوسي ١: ٤١

"He Highly exalted Him"
That We May Be Exalted in Him

As He Himself, who sanctifies all, says also that He sanctifies Himself to the Father for our sakes (John 17:19), not that the Word may become holy, but that He Himself may in Himself sanctify all of us, in like manner we must take the present phrase, *"He highly exalted Him"* (Phil. 2:9), not that He Himself should be exalted, for He is the highest, but that He may become righteousness for us (I Cor. 1:30), and we may be exalted in Him, and that we may enter the gates of heaven, which He has also opened for us, the forerunners saying, "*Lift up your gates, O ye rulers, and be ye lift up, ye everlasting doors, and the King of Glory shall come in*" (Ps 24:7). For here also not on Him were shut the gates, as being Lord and Maker of all, but because of us is this too written, to whom the door of paradise was shut.

Against the Arians, Disc. I, 41; NPNF, 2nd Ser., Vol. IV, p. 330.

****

ἐκ τοῦ Ἁγίου Ἀθανασίου

Ὥσπερ αὐτὸς πάντας ἁγιάζων, λέγει πάλιν τῷ Πατρὶ ἑαυτὸν ὑπὲρ ἡμῶν ἁγιάζειν, οὐχ ἵνα ἅγιος ὁ Λόγος γένηται, ἀλλ᾽ ἵνα αὐτὸς ἐν ἑαυτῷ ἁγιάσῃ πάντας ἡμᾶς· οὕτως ἄρα καὶ τὸ νῦν λεγόμενον, *ὑπερύψωσεν αὐτὸν*, οὐχ ἵνα αὐτὸς ὑψωθῇ· ὕψιστος γάρ ἐστιν· ἀλλ᾽ ἵνα αὐτὸς μὲν ὑπὲρ ἡμῶν δικαιοσύνη γένηται, ἡμεῖς δὲ ὑψωθῶμεν ἐν αὐτῷ, καὶ εἰς τὰς πύλας εἰσέλθωμεν τῶν οὐρανῶν, ἃς αὐτὸς πάλιν ὑπὲρ ἡμῶν ἀνέῳξε, λεγόντων τῶν προτρεχόντων· *Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης*. Καὶ ὧδε γὰρ οὐκ αὐτῷ ἦσαν αἱ πύλαι κεκλεισμέναι Κυρίῳ καὶ ποιητῇ τῶν πάντων ὄντι, ἀλλὰ δι᾽ ἡμᾶς καὶ τοῦτο γέγραπται, οἷς ἦν ἡ θύρα κεκλεισμένη τοῦ παραδείσου.

PG 26, 97.

للقديس أثناسيوس الرسو :

ن الذين كان يصعدنا معه سده ا اص

■❍✞❍■

[لقد جاء الرب لكي يحدر الشيطان،

ويطهر ا واء ويهيئ لنا طريق الصعود إ السموات

كما يقول الرسول: «ء ا جاب أي جسده» (عب ١٠: ٢٠)...

وهكذا ا رفع قد طهر ا واء ...

كما يقول: «رأيت الشيطان ساقطاً كاا ق» (لو ١٠: ١٨).

افتتح الطريق الصاعد إ السموات قائلاً أيضاً:

«ارفعوا أيها الرؤساء أبوابكم،

وارتفعي أيتها الأبواب الدهرية» (مز ٢٤: ٧).

لأنه يكن الكلمة هو ا تاج إ فتح الأبواب،

إذ هو رب الكل،

و يكن شيء من ا صنوعات مغلقاً أمام خالقه،

بل ن الذين كنا تاج إ ذلك،

ن الذين كان يصعدنا معه سده ا اص؛

فكما أنه قدم هذا ا سد للموت من أجل ا ميع

هكذا أيضاً بواسطته قد أعد طريق الصعود إ السموات].

سد الكلمة ٢٥: ٥ و٦

He Carried Us Up by His Own Body

The Lord came to cast down the devil, and clear the air and prepare the way for us up into heaven, as said the Apostle: "*Through the veil, that is to say, His flesh*" (Heb. 10:20) ... For thus being lifted up He cleared the air ... as He says: "*I beheld Satan as lightning fall from heaven*" (Luke 10:18); and made a new opening of the way up into heaven as He says once more: "*Lift up your gates, you princes, and be you lift up, you everlasting doors*." (Ps. 24:7) For it was not the Word Himself that needed an opening of the gates, being Lord of all; nor were any of His works closed to their Maker; but we it was that needed it whom He carried up by His own body. For as He offered it to death on behalf of all, so by it He once more made ready the way up into the heavens.

The Incarnation of the Word, 25,5-6.
NPNF, 2nd Ser., Vol. IV, p. 50.

****

ἐκ τοῦ ἁγίου Ἀθανασίου

Ἦλθε ὁ Κύριος ἵνα τὸν μὲν διάβολον καταβάλῃ, τὸν δὲ ἀέρα καθαρίσῃ, καὶ ὁδοποιήσῃ ἡμῖν τὴν εἰς οὐρανοὺς ἄνοδον, ὡς εἶπεν ὁ Ἀπόστολος, *"διὰ τοῦ καταπετάσματος, τοῦτ᾽ ἔστιν τῆς σαρκὸς αὐτοῦ "* ... Οὕτω γὰρ ὑψωθείς, τὸν μὲν ἀέρα ἐκαθάριζεν ... λέγων· *"Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν πεσόντα"*, τὴν εἰς οὐρανοὺς ἄνοδον ὁδοποιῶν ἐνεκαίνιζε λέγων πάλιν· *"Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι."* Οὐ γὰρ αὐτὸς ὁ Λόγος ἦν ὁ χρῄζων ἀνοίξεως τῶν πυλῶν, πάντων Κύριος ὤν, οὐδὲ κεκλεισμένον ἦν τι τῶν ποιημάτων τῷ ποιητῇ, ἀλλ᾽ ἡμεῖς ἦμεν οἱ χρῄζοντες, οὓς ἀνέφερεν αὐτὸς διὰ τοῦ ἰδίου σώματος αὐτοῦ. Ὡς γὰρ ὑπὲρ πάντων αὐτὸ προσήνεγκε τῷ θανάτῳ, οὕτως δι᾽ αὐτοῦ πάλιν ὡδοποίησε τὴν εἰς οὐρανοὺς ἄνοδον.

PG 25, 140.

للقديس أثناسيوس الرسو :

ا وت صار مداساً ت الأقدام

■❍✞❍■

[إن كان بعلامة الصليب وبالإ ان با سيح يداس ا وت،
فمن الواضح اماً ن كم بالعدل،
أن ا سيح نفسه وليس آخر هو الذي انتصر دارة على ا وت،
وجعله منتهى الضعف.
وإن كان ا وت الذي كان فيما سبق جباراً و يفاً،
قد صار تقراً من بعد يء ا خلص وموته وقيامته با سد،
فمن الواضح إذن أنه بفضل ا سيح الذي صعد على الصليب
غُلب ا وت وأُبطل أيضاً.
فكما أنه إذا أشرقت الشمس من بعد ليل، وأضاءت الأرض كلها،
لا يكون ال للشك أن الشمس ال نشرت النور كل
مكان، هي نفسها ال غلبت الظلمة وأضاءت ا ميع،
هكذا إذ صار ا وت تقراً ومداساً
منذ الظهور ا لاصي للمخلص با سد وموته على الصليب،
يكون من الواضح أن ا خلص الذي ظهر ا سد
هو نفسه الذي أبطل ا وت
والذي يظهر كل يوم انتصاراته عليه بواسطة تلاميذه]**.**

سد الكلمة ٢٩: ١-٣

Death is Trodden Under Foot

If by the sign of the Cross, and by faith in Christ, death is trampled underfoot, it must be evident before the tribunal of truth that it is none other than Christ Himself that has displayed trophies and triumphs over death, and made him lose all his strength. And if, while previously death was strong, and for that reason terrible, now after the sojourn of the Saviour and the death and Resurrection of His body it is despised, it must be evident that death has been brought to nought and conquered by the very Christ that ascended the Cross. For as, if after night-time the sun rises, and the whole region of earth is illumined by him, it is at any rate not open to doubt that it is the sun who has revealed his light everywhere, that has also driven away the dark and given light to all things; so, now that death has come into contempt, and been trodden under foot, from the time when the Saviour's saving manifestation in the flesh and His death on the Cross took place, it must be quite plain that it is the very Saviour that also appeared in the body, Who has brought death to nought, and Who displays the signs of victory over him day by day in His own disciples.

The Incarnation of the Word, 29; NPNF, 2nd Ser., Vol. IV, p. 51-52.

****

ἐκ τοῦ ἁγίου Ἀθανασίου

Εἰ δὲ τῷ σημείῳ τοῦ σταυροῦ καὶ τῇ πίστει τῇ εἰς Χριστὸν καταπατεῖται ὁ θάνατος, δῆλον ἂν εἴη παρὰ ἀληθείᾳ δικαζούσῃ, μὴ ἄλλον εἶναι ἀλλ᾽ ἢ αὐτὸν τὸν Χριστόν, τὸν κατὰ τοῦ θανάτου τρόπαια καὶ νίκας ἐπιδειξάμενον, κἀκεῖνον ἐξασθενῆσαι ποιήσαντα. Καὶ εἰ πρότερον μὲν ἴσχυεν ὁ θάνατος, καὶ διὰ τοῦτο φοβερὸς ἦν, ἄρτι δὲ μετὰ τὴν ἐπιδημίαν τοῦ Σωτῆρος καὶ τὸν τοῦ σώματος αὐτοῦ θάνατον καὶ τὴν ἀνάστασιν καταφρονεῖται, φανερὸν ἂν εἴη παρ᾽ αὐτοῦ τοῦ ἐπὶ τὸν σταυρὸν ἀναβάντος Χριστοῦ κατηργῆσθαι καὶ νενικῆσθαι τὸν θάνατον. Ὡς γὰρ ἐὰν μετὰ νύκτα γένηται ἥλιος, καὶ πᾶς ὁ περίγειος τόπος καταλάμπηται ὑπ᾽ αὐτοῦ, πάντως οὐκ ἔστιν ἀμφίβολον, ὅτι ὁ τὸ φῶς ἐφαπλώσας ἥλιος πανταχοῦ, αὐτός ἐστιν ὁ καὶ τὸ σκότος ἀπελάσας καὶ τὰ πάντα φωτίσας· οὕτως τοῦ θανάτου καταφρονηθέντος καὶ καταπατηθέντος ἀφ᾽ οὗ γέγονεν ἡ τοῦ Σωτῆρος ἐν σώματι σωτήριος ἐπιφάνεια καὶ τὸ τέλος τοῦ σταυροῦ, πρόδηλον ἂν εἴη, ὅτι αὐτός ἐστιν ὁ Σωτὴρ ὁ καὶ ἐν σώματι φανείς, ὁ τὸν θάνατον καταργήσας, καὶ κατ᾽ αὐτοῦ τρόπαια καθ᾽ ἡμέραν ἐν τοῖς ἑαυτοῦ μαθηταῖς ἐπιδεικνύμενος.

PG 25, 145-148.

للقديس أثناسيوس الرسو :

«أين غلبتك يا موت!؟»

■❍✞❍■

[الآن بعد أن أقام ا خلص جسده
يعد ا وت مرعباً بعد،
لأن كل الذين يؤمنون با سيح يدوسون ا وت كأنه لا شيء
ويفضلون أن وتوا عن أن ينكروا إ ا م با سيح!
لأ م يعلمون يقيناً أ م حينما وتون
لا يهلكون بعد بل يون،
ويصبحون عد ي الفساد بفضل القيامة...
إ م تقرون ا وت إ هذه الدرجة
ح إ م يقبلون إليه باشتياق
ويص ون شهوداً للقيامة ال انتصر ا ا خلص عليه!...
وهكذا بعد أن غلب ا خلص ا وت وشهر به على الصليب،
ح صار ا وت ثابة من هو مقيد الأيدي والأرجل،
فإن كل الذين ا سيح حينما وزون أمام ا وت
يدوسونه ويستهزئون به، شاهدين للمسيح وساخرين من ا وت،
قائل له ما كُتب ضده قد اً:
«**أين غلبتك يا موت،**
أين شوكتك يا هاوية!؟» (١كو ١٥:٥٥).

سد الكلمة، فصل ٢٧

O Death, Where Is Your Victory?

Now that the Saviour has raised His body, death is no longer terrible; for all who believe in Christ tread him under as nought, and choose rather to die than to deny their faith in Christ. For they verily know that when they die they are not destroyed, but actually [begin to] live, and become incorruptible through the Resurrection. … Their contempt for death is so great that they even eagerly rush upon it, and become witnesses for the Resurrection the Saviour has accomplished against it. … And so, death having been conquered and exposed by the Saviour on the Cross, and bound hand and foot, all they who are in Christ, as they pass by, trample on him, and witnessing to Christ scoff at death, jesting at him, and saying what has been written against him of old: "*O death, where is thy victory? O grave, where is thy sting*?"

Incarnation of the Word, 27
NPNF, 2nd Ser., Vol. IV, p. 51.

****

ἐκ τοῦ ἁγίου ᾿Αθανασίου

Ἄρτι τοῦ Σωτῆρος ἀναστήσαντος τὸ σῶμα, οὐκέτι μὲν ὁ θάνατός ἐστι φοβερός, πάντες δὲ οἱ τῷ Χριστῷ πιστεύοντες ὡς οὐδὲν αὐτὸν ὄντα πατοῦσι, καὶ μᾶλλον ἀποθνῄσκειν αἱροῦνται ἢ ἀρνήσασθαι τὴν εἰς Χριστὸν πίστιν. Ἴσασι γὰρ ὄντως ὅτι ἀποθνῄσκοντες οὐκ ἀπόλλυνται, ἀλλὰ ζῶσι, καὶ ἄφθαρτοι διὰ τῆς ἀναστάσεως γίνονται. ... Τοσοῦτον καταφρονοῦσι τοῦ θανάτου, ὡς καὶ προθύμως ἐπ᾿ αὐτὸν ὁρμᾶν καὶ μάρτυρας γίνεσθαι τῆς κατ᾿ αὐτοῦ παρὰ τοῦ Σωτῆρος γενομένης ἀναστάσεως. ... Οὕτω καὶ τοῦ θανάτου νικηθέντος καὶ στηλιτευθέντος ὑπὸ τοῦ Σωτῆρος ἐν τῷ σταυρῷ, καὶ δεδεμένου τὰς χεῖρας καὶ τοὺς πόδας, πάντες οἱ ἐν Χριστῷ διαβαίνοντες αὐτὸν καταπατοῦσι, καὶ μαρτυροῦντες τῷ Χριστῷ χλευάζουσι τὸν θάνατον, ἐπικερτομοῦντες αὐτῷ καὶ τὰ ἄνωθεν κατ᾿ αὐτοῦ γεγραμμένα λέγοντες· "*Ποῦ σου, θάνατε, τὸ νῖκος; ποῦ σου, ᾅδη, τὸ κέντρον;*"

PG 25, 141-142.

القيامة والصعود (٩)

للقديس أثناسيوس الرسو :

«لذلك رفّعه ا » لأجل تأليه الإنسان

■❍✞❍■

[حيث إنه قيل إن ”ا رفعه“ وإنه ”أنعم عليه“[(١)]

وا ىراطقة يعتـ ون ذلك نقصاً وعيباً جوهر اللوغوس،

لذلك فمن الواجب أن نشرح بأي معـ قيل ذلك.

لقد قيل إنه رفع من أقسام الأرض السفلية لكون ا وت نسب له ...

حـ أن ا وت حينما ينسب له

يصـ فداءً طايا البشر وإبطالاً للموت،

وأما القيامة والرفعة فقد نسبت له

لتصـ فوظة لنا بسببه بثبات...

والأمر عجيب حقاً ومدهش:

لأن النعمة الـ يعطيها الابن للآخرين من لدن الآب

هذه بعينها يقال إنه ينا ا (تدبـ ياً بصفته ابن الإنسان)،

والرفعة الـ نحها الابن للآخرين من عند الآب

هذه بعينها يقال إنه «رفع» ا الابن (تدبـ ياً بصفته ابن الإنسان)...

فقد نال ذلك إذن بقصد ارتفاع الإنسان

ذلك الارتفاع الذي هو بعينه تأليهه!]

ضد الأريوسيـ ١: ٤٥

---

(١) ٢: ٩ ”أعطاه“ جاءت ἐχαρίσατο وهي من نفس أصل χάρις = نعمة.

"God has highly exalted Him" for Man's Exaltation and Deification

Since He Himself is said to be "exalted", and "God gave Him" (Phi 2:9), and the heretics think this a defect or affection in the essence of the Word, it becomes necessary to explain how these words are used. He is said to be exalted from the lower parts of the earth, because death is ascribed even to Him … so that the death which is ascribed to Him may be a redemption of the sin of men and an abolition of death, and that the resurrection and exaltation may for His sake remain secure for us. … And it is marvellous and overwhelming verily; for the grace which the Son gives from the Father, that the Son Himself is said to receive; and the exaltation, which the Son bestows from the Father, with that the Son is Himself exalted. ... For He received it as far as man was exalted (in Him); which exaltation was its being deified.

Against the Arians, Discourse I, 45; NPNF, 2nd Ser., Vol. IV, p. 332-333.

****

ἐκ τοῦ ἁγίου Ἀθανασίου

Ἐπειδὴ δὲ αὐτὸς λέγεται ὑψῶσθαι, καὶ ὅτι ὁ Θεὸς αὐτῷ ἐχαρίσατο, καὶ νομίζουσιν οἱ αἱρετικοὶ ἐλάττωμα εἶναι ἢ πάθος τῆς τοῦ Λόγου οὐσίας, ἀναγκαῖον εἰπεῖν πῶς καὶ ταῦτα λέγεται. Ὑψῶσθαι γὰρ λέγεται αὐτὸς ἀπὸ τῶν κατωτέρων μερῶν τῆς γῆς, ἐπεὶ καὶ αὐτοῦ λέγεται ὁ θάνατος εἶναι. … ἵν' ὁ μὲν θάνατος λεγόμενος αὐτοῦ λύτρον ᾖ τῆς τῶν ἀνθρώπων ἁμαρτίας καὶ κατάργησις τοῦ θανάτου· ἡ δὲ ἀνάστασις καὶ ἡ ὕψωσις βεβαία δι' αὐτὸν εἰς ἡμᾶς διαμένῃ. … Καὶ ἔστι παράδοξον καὶ ἐκπλῆξαι δυνάμενον ἀληθῶς· ἣν γὰρ δίδωσιν ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς χάριν, ταύτην αὐτὸς ὁ Υἱὸς λέγεται δέχεσθαι· καὶ τὴν ὕψωσιν, ἣν ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς ποιεῖ, ταύτην ὡς αὐτὸς ὑψούμενός ἐστιν ὁ Υἱός. … Ἐλάμβανε γὰρ κατὰ τὸ ὑψοῦσθαι τὸν ἄνθρωπον. Ὕψωσις δὲ ἦν τὸ θεοποιεῖσθαι αὐτόν.

PG 26, 104-105.

للقديس أثناسيوس الرسو :

لنصعد مع ا سيح إ السموات

■❍✞❍■

[هلُم لنشارك اليوم كخورس واحد ذاك الذي غلب لأجلنا،
لنتبع يعاً ذاك الذي صعد إ السموات،
لنطرح عنا ا سدانيات ولننبذ الشهوات ولنصر روحاني بالتمام؛
ح إذا ما تبعناه نسمع القوات السمائية قائلةً:
«ارفعوا أيها الرؤساء أبوابكم، وارتفعي أيتها الأبواب الدهرية،
فيدخل ملك ا د!» (مز ٢٤:٧) ...
يا ليت قوة فأصعد إ جبل الرؤيا الإ ية، لكي أُعاين يسوع!
وحيث إن: «ا لتصق بالرب يكون معه روحاً واحداً» (١كو ٦:١٧)،
وأن: «ا أعلن لنا هذه الأمور بروحه» (١كو ٢:١٠)،
فلنصعد إذن الآن مع ا سيح إ السموات، أيها الإخوة،
ولا نبق على الأرض ولا تم فيما بعد بالترابيات،
ولا بالشهوات ولا بالغنائم ولا حبة ا قتنيات؛
لئلا إذا ارتفعت، تسقط كاا ق من السماء (لو ١٠:١٥و١٨)،
حاشا أن يصاب بذلك من تبع ا سيح! ...
إذن، فلنتبع ن يعاً ا سيح بلا لوم،
ح نفوز لكوته له ا د إ دهر الدهور. آم .]

عظة عن الصعود

*St. Athanasius**

Let us Ascend with Christ into Heaven

Let us join today into one choir him who has conquered for our sake. Let us all follow him who has ascended into heaven. Let us shake off from ourselves all carnality, discard the passions and become spiritual in the full sense of the word, so if we follow him we would hear the heavenly hosts saying, "*Lift up your heads, O gates! and be lifted up, O ancient doors! that the King of glory may come in*" (Ps 24:7). (...) I wish I had power to ascend with him to the mount of divine vision and behold Jesus! And since "*he who is united to the Lord becomes one spirit with him*" (1Cor 6:17) and "*God has revealed [these things] to us through the Spirit*" (1Cor 2:10), let us ascend now with Christ, brethren, and remain not on earth neither have concern for earthly things nor for passions nor spoils nor love for possessions, lest by rising you fall like lightning from heaven (Lk 10:15,18). Far be it so for any one who follows Christ! (...) Therefore let us all follow Christ without blame so we may win his kingdom, to him be the glory for ever and ever, Amen.

Homily on the Ascension of our Lord

CPG 2172; Sinait. gr. 492, s. VII-IX, ed. by C. Datema in Byzantion 44 (1974) p. 126-137.

(*) So in the manuscript, but the editor (C. Datema) attributes this homily to St. Cyril of Alexandria.

****

ἐκ τοῦ ἁγίου Ἀθανασίου

Συγχορεῦσαι τῷ ὑπὲρ ἡμῶν σήμερον νενικηκότι παραγενώμεθα, ἀνιόντι τοίνυν αὐτῷ εἰς οὐρανοὺς πάντες ἀκολουθήσωμεν, ῥίψωμεν τὰ σωματικά, ἀποταξώμεθα ταῖς ἡδοναῖς, ὅλοι γενώμεθα πνεύματα ἵνα ἀκολουθήσαντες αὐτῷ ἀκούσωμεν τῶν ἐπουρανίων δυνάμεων λεγουσῶν· *" Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης".* (...)
Εἴθε δέ, εἰ ἦν δύναμίς μοι, καὶ εἰς τὸ ὄρος αὐτῷ συνανελθεῖν τῆς θείας ὀπτασίας, ἵνα ἴδω τὸν Ἰησοῦν. Ἐπειδὴ *ὁ κολλώμενος τῷ Κυρίῳ,* φησίν*, ἓν πνεῦμά ἐστιν*, καὶ *ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ πνεύματος αὐτοῦ*, συνανέλθωμεν τοίνυν τῷ Χριστῷ εἰς οὐρανὸν, ἀδελφοί· μὴ μείνωμεν ἐπὶ γῆς, μὴ πάλιν γεώδη φρονήσωμεν, μὴ πάλιν περὶ ἐπιθυμίας, μὴ πάλιν περὶ ἁρπαγάς, μὴ πάλιν περὶ φιλοχρηματείας· μὴ ἐπαρθῇς, ἐπεὶ καὶ σὺ ἐξ οὐρανοῦ πίπτεις ὡς ἡ ἀστραπή. Μὴ γένοιτο δὲ τοῦτο παθεῖν τὸν τῷ Χριστῷ ἀκολουθοῦντα. (...) Γένοιτο δὲ πάντας ἡμᾶς ἀμέμπτως ἀκολουθῆσαι τῷ Χριστῷ καὶ τυχεῖν τῆς βασιλείας αὐτοῦ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

TLG, Cyrillus Theol., *Oratio in Ascensionem Domini.*

القيامة والصعود (١١)

للقديس كـ لس الكبـ :

قوة ا ا يية

■❍✞❍■

[كيف كان ـكن للإنسان على الأرض
ا مسوك با وت أن يعود إ ا لمود؟
كان لابد أن يصـ جسده ا ائت شريكاً لقوة ا ا يية.
وأما قوة ا الآب ا يية فهو اللوغوس الابن الوحيد.
لذلك أرسله إلينا لصاً وفادياً وصار جسداً،
لكي يزرع نفسه فينا با اد غـ مفترق،
و علنا فوق ا وت والفساد.
فقد ا ذ لنفسه جسدنا لكي يقيمه من بـ الأموات،
فيفتح طريق العودة إ ا لمود للجسد الرازح ت ا وت،
كما يقول بولس: «كما أن ا وت بإنسان،
بإنسان أيضاً قيامة الأموات.» (١كو ١٥:٢١)
لأنه ا وحد بنفسه ا سد ا مسوك با وت،
بينما هو الإله الكلمة وا ياة،
فقد زجر منه الفساد وجعله جسداً يياً...
لذلك فحينما نأكل هذا ا سد
الذي للمسيح لصنا كلنا ونشرب دمه الكر ،
فإننا ننال منه ا ياة أنفسنا،
إذ نصـ واحداً معه ونكون ثابتـ فيه
ونقتنيه هو داخلنا.]

تفسـ لوقا ١٩:٢٢

The Life-giving Power of God

In what manner can man upon earth, clothed as he is with mortality, return to incorruption? I answer, that this dying flesh must be made partaker of the life-giving power which cometh from God. But the life-giving power of God the Father is the Only-begotten Word: and Him He sent to us as a Saviour and Deliverer. And He became flesh ... in order that, having implanted Himself in us by an inseparable union, He might raise us above the power both of death and corruption. ...

For He clothed Himself in our flesh, that by raising it from the dead He might prepare a way henceforth, by which the flesh which had been humbled unto death might return anew unto incorruption. ... And Paul testifies "For as by man is death, by man is also the resurrection of the dead" (1 Cor. 15:21). ... The Word therefore, by having united unto Himself that flesh which was subject unto death, as being God and Life drove away from it corruption, and made it also to be the source of life... When therefore we eat the holy flesh of Christ, the Saviour of us all, and drink His precious blood, we have life in us, being made as it were, one with Him, and abiding in Him, and possessing Him also in us.

On Luke, 22:19; Payne Smith, II, 666-668.

****

ἐκ τοῦ Ἁγίου Κυρίλλου

Πῶς ἔδει τὸν ἐπὶ γῆς ἄνθρωπον κεκρατημένον θανάτῳ πρὸς ἀφθαρσίαν ἀναδραμεῖν; Ἔδει τὴν ἀποθνήσκουσαν σάρκα τῆς παρὰ Θεοῦ ζωοποιοῦ δυνάμεως γενέσθαι μέτοχον. Δύναμις δὲ τοῦ Θεοῦ καὶ Πατρὸς ἡ ζωοποιὸς ὁ μονογενής ἐστι Λόγος. Τοῦτον ἡμῖν ἔπεμψε σωτῆρα καὶ λυτρωτὴν, καὶ γέγονε σάρξ, ... ἵν' ἡμῖν ἑαυτὸν ἐμφυτεύσῃ καθ' ἕνωσιν ἀδιάσπαστον, καὶ θανάτου καὶ φθορᾶς ἀποφήνῃ κρείττονας. Τὴν γὰρ ἡμῶν ἠμπέσχετο σάρκα, ἵν' ἐκ νεκρῶν ἀναστήσας αὐτὴν, ὁδοποιήσῃ λοιπὸν τῇ πρὸς θάνατον κατενηνεγμένῃ σαρκὶ, τὴν εἰς ἀφθαρσίαν ἀναδρομὴν, καθά φησιν ὁ Παῦλος· *"Ἐπειδὴ γὰρ δι' ἀνθρώπου θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν."* ... Ἑνώσας τοίνυν ἑαυτῷ τὴν τῷ θανάτῳ κάτοχον σάρκα, Θεὸς ὢν ὁ Λόγος καὶ ζωὴ, ἀπεσόβησε μὲν αὐτῆς τὴν φθορὰν, ἀπέφηνε δὲ αὐτὴν καὶ ζωοποιόν. ... Οὐκοῦν ἐσθίοντες τὴν σάρκα τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, καὶ πίνοντες αὐτοῦ τὸ τίμιον αἷμα, ζωὴν ἔχομεν ἐν ἑαυτοῖς, ἓν ὡς πρὸς αὐτὸν ἀποτελούμενοι, καὶ ἐν αὐτῷ μένοντες, ἔχοντες δὲ αὐτὸν καὶ ἐν ἑαυτοῖς.

P.G. 72, 908, 909.

للقديس كـ لس الكبـ :

ا سيح القائم من بـ الأموات
أصل للخليقة ا ـديدة

■❍✞❍■

[إن ربنا يسوع ا سيح
لَما ذاق ا وت من أجل ا ـميع،
بل وقام اليوم الثالث؛
قد صار بذلك "باكورة للراقدين"،
وأصلاً للذين يخلقون من جديد بواسطته للحياة،
كبداية لطبيعة بشرية (جديدة) قد خلعت عنها الفساد ...]

تفسـ إشعياء ١٩:٢٦

[لأن ا سيح هو أول البشرية (ا ـديدة)،
وأصلٌ وباكورة للذين تتغير طبيعتهم
بالروح القدس إ جدة ا ياة.
فهو منذ الآن ينقل إ كل ا ـنس البشري
- بواسطة الشركة معه وبالنعمة -
عدم فساد جسده وثبات لاهوته.
ولَما علم ذلك بولس الإ ي كتب قائلاً:
«كما لبسنا صورة الترا ، لنلبس أيضاً صورة السماوي.» (١كو ٤٩:١٥)]

ـسد الوحيد

The Christ Risen from the Dead
Is the Root of the New Creation

When our Lord Jesus Christ tasted death for the sake of all, and even arose on the third day, he thus became “the first fruits of those who have fallen asleep” (1 Cor 15:20), and a root to those who are created anew by him for life, as a beginning of a new human nature which has shed off corruption ...

On Isaiah 26:19

For Christ is the first man [in the new creation] and a root and first fruits of those whose nature is changed by the Holy Spirit to the newness of life. Henceforth he conveys to the whole human race, by means of communion with him and by grace, the incorruptibility of his body and the unchangeableness of his divinity. When Paul the Divine new this he wrote saying: “Just as we have borne the image of the man of dust, we shall also bear the image of the man of heaven” (1 Cor 15:49).

On the Incarnation of the Only Begotten

****

ἐκ τοῦ Ἁγίου Κυρίλλου

Ἱστορήσαμεν δὲ καὶ αὐτοὶ ἐπὶ τῶν τόπων γενόμενοι πλείους ἀθρόως κατὰ μίαν ἡμέραν τοὺς μὲν τῆς κεφαλῆς ἀποτομὴν ὑπομείναντας, τοὺς δὲ τὴν διὰ πυρὸς τιμωρίαν, ὡς ἀμβλύνεσθαι φονεύοντα τὸν σίδηρον ἀτονοῦντά τε διαθλᾶσθαι αὐτούς τε τοὺς ἀναιροῦντας ἀποκάμνοντας ἀμοιβαδὸν ἀλλήλους διαδέχεσθαι· ὅτε καὶ θαυμασιωτάτην ὁρμὴν θείαν τε ὡς ἀληθῶς δύναμιν καὶ προθυμίαν τῶν εἰς τὸν Χριστὸν τοῦ θεοῦ πεπιστευκότων συνεωρῶμεν. Ἅμα γοῦν τῇ κατὰ τῶν προτέρων ἀποφάσει ἐπεπήδων ἄλλοθεν ἄλλοι τῷ πρὸ τοῦ δικαστοῦ βήματι Χριστιανοὺς σφᾶς ὁμολογοῦντες, ἀφροντίστως μὲν πρὸς τὰ δεινὰ καὶ τοὺς τῶν πολυειδῶν βασάνων τρόπους διακείμενοι, ἀκαταπλήκτως δὲ παρρησιαζόμενοι ἐπὶ τῇ εἰς τὸν τῶν ὅλων θεὸν εὐσεβείᾳ μετά τε χαρᾶς καὶ γέλωτος καὶ εὐφροσύνης τὴν ὑστάτην ἀπόφασιν τοῦ θανάτου καταδεχόμενοι, ὥστε ψάλλειν καὶ ὕμνους καὶ εὐχαριστίας εἰς τὸν τῶν ὅλων θεὸν μέχρις αὐτῆς ἐσχάτης ἀναπέμπειν ἀναπνοῆς.

SC 55, 18

الاستشهاد (١٢)

للمؤرخ يوسابيوس القيصري:

سر قوة الشهداء العلاقة الوثيقة با سيح

■❍✞❍■

[وأما هؤلاء (الشهداء)

فقد مروا ميع الآلات ا خترعة للتعذيب وسط الساحة،

وبعد أن احتملوا جهاداً شديداً جداً ذُبِحوا أخ اً هم أيضاً،

و ذلك يئن ألكسندروس (الشهيد) و يصرخ البتة

بل كان **يتمسك بعلاقته الوثيقة با داخل قلبه ...**

وأما الطوباوية بلاندينا فقد بقيت آخر الكل،

وكأ ا أُم نبيلة قد شجعت أولادها وأرسلتهم منتصرين أمام ا لملك،

وأخ اً اجتازت هي أيضاً يع تعاذيب أولادها،

وكانت ضي وها مسرعة فرحة ومتهللة روجها،

وكأ ا مدعوة إ عشاء عرس

بدلاً من أن تكون مطروحة للوحوش.

وبعد تعرضها للجلد والوحوش والشي،

وضعت أخ اً داخل شبكة وطُرحت أمام ثور،

فأطاح ا هذا ا يوان بشدة،

غ أ ا ما كانت تبا بشيء ا دث ا،

بسبب رجائها وتيقنها ا آمنت به

وبسبب علاقتها الوثيقة با سيح.]

رسالة كنيسة ليون عن شهداء بلاد الغال سنة ١٧٧م

التاريخ الكنسي ٥: ١: ٥١ و٥٦

The Communion of Martyrs with Christ

They were tortured in the amphitheater with all the instruments contrived for that purpose, and having endured a very great conflict, were at last sacrificed. Alexander neither groaned nor murmured in any manner, but communed in his heart with God.
...
But the blessed Blandina, last of all, having, as a noble mother, encouraged her children and sent them before her victorious to the King, endured herself all their conflicts and hastened after them, glad and rejoicing in her departure as if called to a marriage supper, rather than cast to wild beasts. And, after the scourging, after the wild beasts, after the roasting seat, she was finally enclosed in a net, and thrown before a bull. And being tossed about by the animal, she was feeling none of the things which were happening to her, on account of her hope and firm hold upon what had been entrusted to her, and her communion with Christ.

Letter of the Church of Lyons about the Martyrs of 177 A.D.
Eusebius, *H.E.* V, I, 51-56; NPNF, 2nd Ser., Vol. I, p. 216-217.

****

Οἳ καὶ διὰ πάντων διελθόντες τῶν ἐν τῷ ἀμφιθεάτρῳ πρὸς κόλασιν ἐξηυρημένων ὀργάνων καὶ μέγιστον ὑπομείναντες ἀγῶνα, τοὔσχατον ἐτύθησαν καὶ αὐτοί, τοῦ μὲν Ἀλεξάνδρου μήτε στενάξαντος μήτε γρύξαντός τι ὅλως, ἀλλὰ κατὰ καρδίαν ὁμιλοῦντος τῷ θεῷ. ... ἡ δὲ μακαρία Βλανδῖνα πάντων ἐσχάτη, καθάπερ μήτηρ εὐγενὴς παρορμήσασα τὰ τέκνα καὶ νικηφόρους προπέμψασα πρὸς τὸν βασιλέα, ἀναμετρουμένη καὶ αὐτὴ πάντα τὰ τῶν παίδων ἀγωνίσματα ἔσπευδεν πρὸς αὐτούς, χαίρουσα καὶ ἀγαλλιωμένη ἐπὶ τῇ ἐξόδῳ, ὡς εἰς νυμφικὸν δεῖπνον κεκλημένη, ἀλλὰ μὴ πρὸς θηρία βεβλημένη· καὶ μετὰ τὰς μάστιγας, μετὰ τὰ θηρία, μετὰ τὸ τήγανον, τοὔσχατον εἰς γυργαθὸν βληθεῖσα ταύρῳ παρεβλήθη, καὶ ἱκανῶς ἀναβληθεῖσα πρὸς τοῦ ζῴου μηδὲ αἴσθησιν ἔτι τῶν συμβαινόντων ἔχουσα διὰ τὴν ἐλπίδα καὶ ἐποχὴν τῶν πεπιστευμένων καὶ ὁμιλίαν πρὸς Χριστόν.

SC 41, 20-21.

الاستشهاد (١٣)

للمؤرخ يوسابيوس القيصري:

ا سيح ا تألم شهدائه

■❍✞❍■

[أما سانكتوس، فكان تمل بشهامة تفوق قـدرة البـشر كـل الإساءات ا وجهة إليه. وبينما كان الأشرار يأملون عن طريق شدة التعذيب واستطالته أن يسمعوا منه شيئاً ا لا ب، كان يـصمد أمامهم أش، ح ما كان يد لا با ه ولا بأمته ولا دينته ولا إن كان عبداً أم حراً، بل كان يجيب على يع أسـئلتهم قـائلاً باللغة الرومانية: ”أنا مسيحي!“. فكان يعترف بذلك عوضاً عـن ا ه، وعوضاً عن مدينته وعوضاً عن جنسه وعوضاً عن أي شـيء آخر ... وأخ اً ألصقوا بأعضاء جسمه الرهيفة قطعاً من النحـاس ماة بالنار. وبينما كانت أعضاؤه ترق، كان هو يبقى صـامداً وغ متـزعزعٍ راسخاً اعترافه بالإ ان متقويا ومرتوياً من ينبوع ماء ا ياة السماوي النابع من جنب ا سيح. وكان جسده الضعيف يشهد ا أصابه إذ صار كله روحاً ومتمزقاً ومتقلصاً ح فقد من ا ارج شكله البشري، **غ أن ا سيح كان فيه هو الذي تمـل الآلام** وكان يتمم فيه أعمالاً يدة وعظيمة، إذ كان يبطـل قـوة العدو، ويظهر ثاله للآخرين أنه حيث تكون بة الآب فلا يوجد شيء يف، وحيث يكون د ا سيح فلا يوجد شيء مؤ !]

رسالة كنيسة ليون عن شهداء بلاد الغال سنة ١٧٧م
التاريخ الكنسي ٥: ١: ٢٠-٢٣

Christ Suffering in His Martyrs

Sanctus also endured marvelously and superhumanly all the outrages which he suffered. While the wicked men hoped, by the continuance and severity of his tortures to wring something from him which he ought not to say, he girded himself against them with such firmness that he would not even tell his name, or the nation or city to which he belonged, or whether he was bond or free, but answered in the Roman tongue to all their questions, “I am a Christian.” He confessed this instead of name and city and race and everything besides...

They finally fastened red-hot brazen plates to the most tender parts of his body. And these indeed were burned, but he continued unbending and unyielding, firm in his confession, and refreshed and strengthened by the heavenly fountain of the water of life, flowing from the bowels of Christ. And his body was a witness of his sufferings, being one complete wound and bruise, drawn out of shape, and altogether unlike a human form. Christ, suffering in him, manifested his glory, delivering him from his adversary, and making him an ensample for the others, showing that nothing is fearful where the love of the Father is, and nothing painful where there is the glory of Christ.

Letter of the Church of Lyons about the Martyrs of 177 A.D.
Eusebius, *H.E.* V, I, 20-23; NPNF, 2nd Ser., Vol. I, p. 216-217.

****

Ὁ δὲ Σάγκτος καὶ αὐτὸς ὑπερβεβλημένως καὶ ὑπὲρ πάντα ἄνθρωπον πάσας τὰς ἐξ ἀνθρώπων αἰκίας γενναίως ὑπομένων, τῶν ἀνόμων ἐλπιζόντων διὰ τὴν ἐπιμονὴν καὶ τὸ μέγεθος τῶν βασάνων ἀκούσεσθαί τι παρ᾽ αὐτοῦ τῶν μὴ δεόντων, τοσαύτῃ ὑποστάσει ἀντιπαρετάξατο αὐτοῖς, ὥστε μήτε τὸ ἴδιον κατειπεῖν ὄνομα μήτε ἔθνους μήτε πόλεως ὅθεν ἦν, μήτε εἰ δοῦλος ἢ ἐλεύθερος εἴη· ἀλλὰ πρὸς πάντα τὰ ἐπερωτώμενα ἀπεκρίνατο τῇ Ῥωμαϊκῇ φωνῇ “Χριστιανός εἰμι”. τοῦτο καὶ ἀντὶ ὀνόματος καὶ ἀντὶ πόλεως καὶ ἀντὶ γένους καὶ ἀντὶ παντὸς ἐπαλλήλως ὡμολόγει. ... τὸ τελευταῖον χαλκᾶς λεπίδας διαπύρους προσεκόλλων τοῖς τρυφερωτάτοις μέλεσι τοῦ σώματος αὐτοῦ. καὶ ταῦτα μὲν ἐκαίετο, αὐτὸς δὲ παρέμενεν ἀνεπίκαμπτος καὶ ἀνένδοτος, στερρὸς πρὸς τὴν ὁμολογίαν, ὑπὸ τῆς οὐρανίου πηγῆς τοῦ ὕδατος τῆς ζωῆς τοῦ ἐξιόντος ἐκ τῆς νηδύος τοῦ Χριστοῦ δροσιζόμενος καὶ ἐνδυναμούμενος· τὸ δὲ σωμάτιον μάρτυς ἦν τῶν συμβεβηκότων, ὅλον τραῦμα καὶ μώλωψ καὶ συνεσπασμένον καὶ ἀποβεβληκὸς τὴν ἀνθρώπειον ἔξωθεν μορφήν, ἐν ᾧ πάσχων Χριστὸς μεγάλας ἐπετέλει δόξας, καταργῶν τὸν ἀντικείμενον καὶ εἰς τὴν τῶν λοιπῶν ὑποτύπωσιν ὑποδεικνύων ὅτι μηδὲν φοβερὸν ὅπου πατρὸς ἀγάπη, μηδὲ ἀλγεινὸν ὅπου Χριστοῦ δόξα.

PG 20, 416-417.

للقديس أثناسيوس الرسو :

القديس أنطونيوس والاستشهاد

■❍✞❍■

[بعد هذا حل بالكنيسة الاضطهاد الذي حدث أيام مكسيمينوس.
وعندما اقتيد الشهداء القديسون إ الإسكندرية
تبعهم هو (أنطونيوس) أيضاً، تاركاً صومعته وقائلاً:
"لنذهب ن أيضاً ح اهد إذا ما دعينا لذلك،
أو ننظر ا اهدين".
وقد تاق إ الاستشهاد ولكنه إذ يشأ تسليم نفسه
خدم ا عترف ا ناجم والسجون ...
لأنه، كما قلت سابقاً، كان يصلي أن يص هو نفسه شهيداً.
ولذلك فقد كان يبدو عليه كأنه حزين لأنه يستشهد،
ولكن الرب كان فظه من أجل منفعتنا ومنفعة غ نا،
لكي يص معلماً للكث ين
عن النسك الذي تعلمه من الكتب ا قدسة...
وعندما كف الاضطهاد أخ اً،
واستشهد ا غبوط الأسقف بطرس (خا الشهداء)،
انصرف (أنطونيوس)، واعتـزل ثانية صومعته،
وكان هناك كل يوم يستشهد بضم ه،
و اهد جهاد الإ ان].

حياة أنطونيوس ٤٦ و٤٧

Saint Antony and Martyrdom

After this the Church was seized by the persecution which then took place under Maximinus, and when the holy martyrs were led to Alexandria, Antony also followed, leaving his cell, and saying, Let us go too, that if called, we may contend or behold them that are contending. And he longed to suffer martyrdom, but not being willing to give himself up, he ministered to the confessors in the mines and in the prisons. ...

For, as I said before, he prayed himself to be a martyr, wherefore he seemed as one grieved that he had not borne his witness. But the Lord was keeping him for our profit and that of others, that he should become a teacher to many of the discipline which he had learned from the Scriptures. ...

And when at last the persecution ceased, and the blessed Bishop Peter had borne his testimony. Antony departed, and again withdrew to his cell, and was there daily a martyr to his conscience, and contending in the conflicts of faith.

Life of Antony, 46-47; NPNF, 2nd Ser.,Vol.IV, p. 208-209.

****

ἐκ τοῦ ἁγίου Ἀθανασίου

Μετὰ ταῦτα κατέλαβε τὴν Ἐκκλησίαν ὁ κατὰ Μαξιμῖνον τὸ τηνικαῦτα γενόμενος διωγμός· καὶ τῶν ἁγίων μαρτύρων ἀγομένων εἰς τὴν Ἀλεξάνδρειαν, ἠκολούθησε καὶ αὐτὸς, ἀφεὶς τὸ μοναστήριον, λέγων· Ἀπέλθωμεν καὶ ἡμεῖς, ἵνα ἀγωνιζώμεθα κληθέντες, ἢ θεωρήσωμεν τοὺς ἀγωνιζομένους. Καὶ πόθον μὲν εἶχε μαρτυρῆσαι· παραδοῦναι δὲ μὴ θέλων ἑαυτὸν, ὑπηρέτει τοῖς ὁμολογηταῖς ἔν τε τοῖς μετάλλοις καὶ ἐν ταῖς φυλακαῖς. ...

Ηὔχετο γὰρ καὶ αὐτὸς μαρτυρῆσαι, καθὰ προεῖπον. Αὐτὸς μὲν οὖν λυπουμένῳ ἐῴκει, ὅτι μὴ μεμαρτύρηκεν· ὁ δὲ Κύριος ἦν αὐτὸν φυλάττων εἰς τὴν ἡμῶν καὶ τὴν ἑτέρων ὠφέλειαν, ἵνα καὶ ἐν τῇ ἀσκήσει, ἣν ἐκ τῶν Γραφῶν αὐτὸς μεμάθηκε, πολλοῖς διδάσκαλος γένηται. ...

Ἐπειδὴ δὲ λοιπὸν ὁ διωγμὸς ἐπαύσατο, καὶ μεμαρτύρηκεν ὁ μακαρίτης ἐπίσκοπος Πέτρος, ἀπεδήμησε, καὶ πάλιν εἰς τὸ μοναστήριον ἀνεχώρει, καὶ ἦν ἐκεῖ καθ' ἡμέραν μαρτυρῶν τῇ συνειδήσει, καὶ ἀγωνιζόμενος τοῖς τῆς πίστεως ἄθλοις.

PG 26, 909-912.

الاستشهاد (١٥)

للقديس مار إسحق السريا :

فرح الاستشهاد

■❍✞❍■

[يقال عن كثـ من الشهداء

إ ـم اليوم الذي كانوا يتوقعون فيه قبول إكليل الاستشهاد،

- سواء عرفوا ذلك بإعلان

أو أخـ هم بذلك أحد أصدقائهم -

كانوا تلك الليلة لا يذوقون شيئاً،

بل كانوا يقفون ساهرين الصلاة من ا ساء إ الصباح،

جدون ا ـزام وتسابيح وأغا روحية،

منتظرين تلك الساعة بالفرح والتهليل؛

وكمثل أُناسٍ مستعدين للعرس،

كانوا ينتظرون أن يلاقوا السيف وهم صائمون.

و ـن أيضاً الآن ا دعوين للاستشهاد غـ ا نظور

ولقبول أكاليل القداسة،

لنسهر ولا ندع أي عضو أو جزء من جسدنا

تظهر عليه ـة الإنكار أمام أعدائنا.]

ميمر ٣٧ التر ـة الإ ليزية

ويقابله النسخة العربية ا يمر الرابع من ا ـزء الثالث

St Isaac the Syrian

The Joy of Martyrdom

It is said concerning many of the martyrs, that when they foreknew, either by revelation or by information received from one of their friends, the day on which they were to receive the crown of martyrdom, they did not taste anything the preceding night, but from evening till morning they stood keeping vigil in prayer, glorifying God in psalms, hymns, and spiritual odes, and they looked forward to that hour with joy and exaltation, waiting to meet the sword in their fast as ones prepared for the nuptials. Therefore let us also be vigilant, we who are called to an unseen martyrdom so as to receive the crowns of sanctification, so that we may never give our enemies a sign of denial with any member or part of our body.

Ascetical Homilies, 37 (Massachusetts, 1984, p 172-173).

****

ἐκ τοῦ Ἁγίου Ἰσαὰκ τοῦ Σύρου

Λέγεται περὶ πολλῶν Μαρτύρων, ὅτι ἐν τῇ ἡμέρᾳ, ἐν ᾗ προσεδώκων δέξασθαι τὸν στέφανον τοῦ μαρτυρίου, εἰ προεγίνωσκον, ἢ ἐξ ἀποκαλύψεως, ἢ φάσεώς τινος τῶν ἑταίρων αὐτῶν τοῦτο, τῇ νυκτὶ ἐκείνῃ οὐκ ἐγεύοντό τινος, ἀλλὰ ἀπὸ ἑσπέρας ἕως πρωῒ ἵσταντο ἀγρυπνοῦντες ἐν τῇ εὐχῇ, δοξάζοντες τὸν Θεὸν ἐν ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, καὶ ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει ἐξεδέχοντο τὴν ὥραν ἐκείνην, ὥς τινες ἑτοιμασθέντες εἰς τοὺς γάμους, ἐκδεχόμενοι ἀπαντῆσαι τῷ ξίφει ἐν τῇ νηστείᾳ αὐτῶν. Καὶ ἡμεῖς τοίνυν οἱ εἰς τὴν ἀόρατον μαρτυρίαν κληθέντες, τοῦ δέξασθαι τοὺς στεφάνους τοῦ ἁγιασμοῦ, νήψωμεν, καὶ μηδέποτε ἐν μέλει τινὶ καὶ μέρει τοῦ σώματος ἡμῶν δοθῇ τοῖς ἐχθροῖς ἡμῶν σημεῖον τῆς ἀρνήσεως.

(From the edition of Nikephoros Theotokis, Leipzig, 1770, Athens, 1895, p. 336).





الكنيسة ووحدتا

للقديس إغناطيوس الأنطاكي:

وحدة يسوع والآب
هي ا ثال الأعلى للوحدة الكنسية

■❍✞❍■

[إ أمتدح الكنائس،
وأُصلي لتكون ا وحدة   جسد وروح يسوع ا سيح،
الذي هو حياتنا الدائمة،
وحدة الإ ان وا ب الـ تفوق كل شيء،
بل وأفضل من ذلك بصفة مطلقة: **وحدة يسوع والآب!...**
فكما أن الرب   يفعل شيئاً، لا بنفسه ولا بـ رسله،
معزلٍ عـ ن الآب ا تحد بـ ـه؛
هكذا أنتم أيضاً لا تفعلوا شيئاً   معزلٍ عن الأسقف والقسوس،
ولا اولوا أن تستحسنوا ما يتراءى لكل واحد منكم،
بل افعلوا كل شيء معاً:
صلاة واحدة، دعاء واحد، فكر واحد،
رجاء واحد   ا بة و الفرح الذي بلا لوم.
فإن هذا هو يسوع ا سيح الذي ليس شيء أفضل منه!]

الرسالة إ كنيسة مغنيسيا ١و٧

Unity of Jesus and the Father, and Unity of the Church

I sing the praise of the Churches, and I pray that the Churches may have unity in the flesh and Spirit of Jesus Christ, who is our everlasting life—a union in faith and charity that is to be preferred to all else and, most especially, the unity of Jesus and the Father (...)

As therefore the Lord, being one with the Father, did nothing, either in His own person or through the Apostles, without the Father, so you should do nothing without the bishop and the council of the priests. Nor should you try to make a thing out to be reasonable, merely because it seems so to you personally; but let there be in common a single prayer, one petition, one mind, one hope, in love, in joy without blame which is Jesus Christ who is the best of all.

Letter to the Magnesians, 1, 7.

****

ἐκ τοῦ ἁγίου Ἰγνατίου

Ἄ̣δω τὰς ἐκκλησίας, ἐν αἷς ἕνωσιν εὔχομαι σαρκὸς καὶ πνεύματος Ἰησοῦ Χριστοῦ, τοῦ διὰ παντὸς ἡμῶν ζῆν, πίστεώς τε καὶ ἀγάπης, ἧς οὐδὲν προκέκριται, τὸ δὲ κυριώτερον Ἰησοῦ καὶ Πατρός·

Ὥσπερ οὖν ὁ κύριος ἄνευ τοῦ Πατρὸς οὐδὲν ἐποίησεν, ἡνωμένος ὤν, οὔτε δι᾽ ἑαυτοῦ οὔτε διὰ τῶν ἀποστόλων, οὕτως μηδὲ ὑμεῖς ἄνευ τοῦ ἐπισκόπου καὶ τῶν πρεσβυτέρων μηδὲν πράσσετε· μηδὲ πειράσητε εὔλογόν τι φαίνεσθαι ἰδίᾳ ὑμῖν, ἀλλ᾽ ἐπὶ τὸ αὐτό· μία προσευχή, μία δέησις, εἷς νοῦς, μία ἐλπὶς ἐν ἀγάπῃ, ἐν τῇ χαρᾷ τῇ ἀμώμῳ, ὅ ἐστιν Ἰησοῦς Χριστός, οὗ ἄμεινον οὐθέν ἐστιν.

SC 10, 80, 84.

للقديس إغناطيوس الأنطاكي:

التوافق الروحي

علنا شركة مع ا

■❍✞❍■

[وهكذا بسبب توافق مشاعركم وتآلف بتكم،

يمتدح يسوع ا سيح.

وتكونون ميع أفرادكم خورساً واحداً،

وأنتم متآلفون معاً اتفاق الرأي،

فتتناغم أصواتكم[٤] مع ا الوحدانية،

وتقدمون التسبيح بصوت واحد

بيسوع ا سيح، الآب،

ح إنه يسمعكم ويعترف بكم

- بسبب الصلاح الذي تعملونه -

أنكم حقاً أعضاء ابنه.

إذن، فمن النافع لكم

أن تكونوا وحدانية بلا لوم،

ح تكونوا أيضاً على الدوام شركة مع ا !]

الرسالة إ أفسس ٤.

---

(٤) حرفياً: صلون على نغمة ا (أو على طبقة صوت ا).

By Concord and Harmonious Love
We Enjoy Communion with God

In your concord and harmonious love, Jesus Christ is sung. And do ye, man by man, become a choir, that being harmonious in love, and taking up the song of God in unison, ye may with one voice sing to the Father through Jesus Christ, so that He may both hear you, and perceive by your works that ye are indeed the members of His Son. It is profitable, therefore, that you should live in an unblameable unity, that thus ye may always enjoy communion with God.

Letter to the Ephesians 4.
(ACW I,61-62; ANF I,50-51).

****

ἐκ τοῦ ἁγίου Ἰγνατίου

Διὰ τοῦτου ἐν τῇ ὁμονοίᾳ ὑμῶν καὶ συμφώνῳ ἀγάπῃ Ἰησοῦς Χριστὸς ᾄδεται. Καὶ οἱ κατ᾽ ἄνδρα δὲ χορὸς γίνεσθε, ἵνα σύμφωνοι ὄντες ἐν ὁμονοίᾳ, χρῶμα θεοῦ λαβόντες ἐν ἑνότητι, ᾄδητε ἐν φωνῇ μιᾷ διὰ Ἰησοῦ Χριστοῦ τῷ πατρί, ἵνα ὑμῶν καὶ ἀκούσῃ καὶ ἐπιγινώσκῃ δι᾽ ὧν εὖ πράσσετε, μέλη ὄντας τοῦ υἱοῦ αὐτοῦ. Χρήσιμον οὖν ἐστὶν ὑμᾶς ἐν ἀμώμῳ ἑνότητι εἶναι, ἵνα καὶ θεοῦ πάντοτε μετέχητε.

SC 10, 60.

للقديس إغناطيوس الأنطاكي:

وحدتنا ا سيح

تبطل كل قوات الشيطان

■❍✞❍■

[احرصوا على أن تمعوا بأكثر مواظبة،

لتقد الإفخارستيا ولتمجيده،

لأنكم حينما تمعون واظبة

تنحل قوات الشيطان،

ويبطل ا لاك الذي يدبره لنا،

بتوافقكم الإ ان.

لا شيء أفضل من السلام

الذي يبطل كل ا اربات،

سواء كانت أرضية أم ائية...

لنفعل إذن كل شيء باعتبار أنه ساكن فينا

ح نص هياكلَ له، ويكون هو فينا إ اً لنا،

وهذا هو ا ادث فعلاً، وسيظهر لنا هذا الأمر علناً

ولذلك فلنحبه كما يليق به].

الرسالة إ أفسس ١٣و١٥

By Our Union in Christ the Forces of Satan Are Overthrown

Make an effort to meet more frequently to celebrate God's Eucharist and to offer praise. For, when you meet frequently in the same place, the forces of Satan are overthrown, and his baneful influence is neutralized by the unanimity of your faith. Nothing is more precious than peace: it puts an end to every war waged by heavenly or earthly enemies...
Let us, then, do all things in the conviction that He dwells in us. Thus we shall be His temples (1 Cor 6:19), and He will be our God within us. And this is the truth, and it will be manifest before our eyes. Let us, then, love Him as He deserves.

Letter to the Ephesians 13, 15.
(ACW I, 65,66; ANF I, 55, 56).

****

ἐκ τοῦ ἁγίου Ἰγνατίου

Σπουδάζετε οὖν πυκνότερον συνέρχεσθαι εἰς εὐχαριστίαν θεοῦ καὶ εἰς δόξαν. Ὅταν γὰρ πυκνῶς ἐπὶ τὸ αὐτὸ γίνεσθε, καθαιροῦνται αἱ δυνάμεις τοῦ σατανᾶ, καὶ λύεται ὁ ὄλεθρος αὐτοῦ ἐν τῇ ὁμονοίᾳ ὑμῶν τῆς πίστεως. Οὐδέν ἐστιν ἄμεινον εἰρήνης, ἐν ᾗ πᾶς πόλεμος καταργεῖται ἐπουρανίων καὶ ἐπιγείων...

Πάντα οὖν ποιῶμεν ὡς αὐτοῦ ἐν ἡμῖν κατοικοῦντος, ἵνα ὦμεν αὐτοῦ ναοὶ καὶ αὐτὸς ἐν ἡμῖν θεὸς ἡμῶν, ὅπερ καὶ ἔστιν καὶ φανήσεται πρὸ προσώπου ἡμῶν, ἐξ ὧν δικαίως ἀγαπῶμεν αὐτόν.

SC 10, 68, 70,72.

للقديس اكليمندس الروما :

الكنيسة الروحية ا خلوقة قبل الشمس والقمر

■❍✞❍■

[إذن، يا إخو ، إن كنا نصنع مشيئة ا أبينا،
فإننا نكون من الكنيسة الأو ،
أي من الكنيسة الروحية ا خلوقة قبل الشمس والقمر.
أما إن كنا لا نصنع مشيئة الرب،
فنكون من تلك ال قال عنها الكتاب:
«قد صار بي مغارة لصوص» (مت ٢١: ١٣).
إذن، ليتنا تار أن نكون من كنيسة ا ياة ح لص.
فإ لا أظنكم هلون أن الكنيسة ا ية هي جسد ا سيح...
فالأسفار ا قدسة والرسل يقولون بوضوح
إن الكنيسة ليست من الزمان ا اضر، ولكنها من فوق،
لأ ا روحية كما أن يسوعنا أيضاً روحي هو؛
ولكنه أُظهر الأيام الأخ ة لكي يخلصنا.
والكنيسة أيضاً ال هي روحية قد أُظهرت جسد ا سيح...
لذلك يقول: أيها الإخوة « سكوا ذا ا سد (الكنيسة)
لكي تنالوا الروح»،
ولا يستطيع أحد أن ينطق أو يعبر عما أعده ا ختاريه (١كو ٢: ٩)].

الرسالة الثانية ا نسوبة لكليمندس الروما : ١٤

*St. Clement of Rome**

The Spiritual Church Created before the Sun and Moon

Wherefore, brethren, if we do the will of God our Father, we shall be of the first Church, that is, spiritual, that has been created before the sun and moon; but if we do not the will of the Lord, we shall be of the scripture that says, "My house was made a den of robbers" (Cf. Mat 21:13). So then let us choose to be of the Church of life, that we may be saved. I do not, however, suppose you are ignorant that the living Church is the body of Christ (...) And the Books and the Apostles plainly declare that the Church is not of the present, but from the beginning. For she was spiritual, as our Jesus also was, but was manifested in the last days that He might save us. Now the Church, being spiritual, was manifested in the flesh of Christ (...) This then is what He says, "Keep the flesh, that you may partake of the Spirit." (…) No one can utter or speak "what the Lord has prepared" (1Cor 2:9) for His elect.

Second Epistle, 14; ANF VII,521.

* Even if not from Clement of Rome, this Epistle is from the Apostolic age.

****

ἐκ τοῦ ἁγίου Κλήμεντος τῆς Ῥώμης

Ὥστε, ἀδελφοί, ποιοῦντες τὸ θέλημα τοῦ πατρὸς ἡμῶν Θεοῦ ἐσόμεθα ἐκ τῆς ἐκκλησίας τῆς πρώτης, τῆς πνευματικῆς, τῆς πρὸ ἡλίου καὶ σελήνης ἐκτισμένης· ἐὰν δὲ μὴ ποιήσωμεν τὸ θέλημα κυρίου, ἐσόμεθα ἐκ τῆς γραφῆς τῆς λεγούσης· Ἐγενήθη ὁ οἶκός μου σπήλαιον λῃστῶν. ὥστε οὖν αἱρετισώμεθα ἀπὸ τῆς ἐκκλησίας τῆς ζωῆς εἶναι, ἵνα σωθῶμεν. οὐκ οἴομαι δὲ ὑμᾶς ἀγνοεῖν, ὅτι ἐκκλησία ζῶσα σῶμά ἐστιν Χριστοῦ· (…) καὶ ἔτι τὰ βιβλία καὶ οἱ ἀπόστολοι τὴν ἐκκλησίαν οὐ νῦν εἶναι, ἀλλὰ ἄνωθεν. ἦν γὰρ πνευματική, ὡς καὶ ὁ Ἰησοῦς ἡμῶν, ἐφανερώθη δὲ ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν, ἵνα ἡμᾶς σώσῃ. ἡ ἐκκλησία δὲ πνευματικὴ οὖσα ἐφανερώθη ἐν τῇ σαρκὶ Χριστοῦ, (…) ἄρα οὖν τοῦτο λέγει, ἀδελφοί· τηρήσατε τὴν σάρκα, ἵνα τοῦ πνεύματος μεταλάβητε. (…) οὔτε ἐξειπεῖν τις δύναται οὔτε λαλῆσαι, ἃ ἡτοίμασεν ὁ κύριος τοῖς ἐκλεκτοῖς αὐτοῦ.

From the 3rd edition of Funk and Schneemelcher (1970)

الكنيسة ووحدتها (٥)

للقديس اكليمندس الروما :

هل كن أن ينقسم
أعضاء ا سد الواحد؟

■❍✞❍■

[اذا تكون بينكم مشاحنات واضطرابات
وانشقاقات وانقسامات بل و اربات؟
أليس لنا إله واحد ومسيح واحد
وروح نعمة واحد منسكب علينا يعاً
ودعوة واحدة ا سيح؟
فلماذ نقسم و زق أعضاء ا سيح،
ونعادي ذات نفس جسدنا ا اص؟
بل ونصل إ هذه الدرجة من ا ذيان
ح نتناسى أننا أعضاء بعضنا للبعض؟...
فلنعرض عن ذلك بسرعة،
و ر أمام ربنا ونبكي،
متوسلا إليه ليكون رحيماً ونا،
ويصا نا ويرجعنا إ ارستنا الأو
ا قدسة الطاهرة للحب الأخوي.]

رسالة كليمندس الأو إ أهل كورنثوس ٤٦و٤٨

Can Members of the One Body Be Divided?

Why are there strives, and tumults, and divisions, and schisms, and wars among you? Have we not all one God and one Christ? Is there not one Spirit of grace poured out upon us? And have we not one calling in Christ? Why do we divide and tear to pieces the members of Christ, and raise up strife against our own body, and have reached such a height of madness as to forget that "we are members one of another?" (...)

Let us therefore, with all haste, put an end to this [state of things]; and let us fall down before the Lord, and beseech Him with tears, that He would mercifully be reconciled to us, and restore us to our former seemly and holy practice of brotherly love.

Letter to the Corinthians, 46, 48.
ANF I, 17-18.

****

ἐκ τοῦ ἁγίου Κλήμεντος τῆς Ῥώμης

Ἵνατί ἔρεις καὶ θυμοὶ καὶ διχοστασίαι καὶ σχίσματα πόλεμός τε ἐν ὑμῖν; Ἢ οὐχὶ ἕνα θεὸν ἔχομεν καὶ ἕνα Χριστὸν καὶ ἓν πνεῦμα τῆς χάριτος τὸ ἐκχυθὲν ἐφ᾽ ἡμᾶς, καὶ μία κλῆσις ἐν Χριστῷ; Ἱνατί διέλκομεν καὶ διασπῶμεν τὰ μέλη τοῦ Χριστοῦ καὶ στασιάζομεν πρὸς τὸ σῶμα τὸ ἴδιον καὶ εἰς τοσαύτην ἀπόνοιαν ἐρχόμεθα, ὥστε ἐπιλαθέσθαι ἡμᾶς, ὅτι μέλη ἐσμὲν ἀλλήλων; (...)

Ἐξάρωμεν οὖν τοῦτο ἐν τάχει καὶ προσπέσωμεν τῷ δεσπότῃ καὶ κλαύσωμεν ἱκετεύοντες αὐτόν, ὅπως ἵλεως γενόμενος ἐπικαταλλαγῇ ἡμῖν καὶ ἐπὶ τὴν σεμνὴν τῆς φιλαδελφίας ἡμῶν ἁγνὴν ἀγωγὴν ἀποκαταστήσῃ ἡμᾶς.

SC 167, 176-178.

الكنيسة ووحدتها (٦)

للقديس إيرينيئوس:

"ا سد العظيم وا يد الذي للمسيح"

■❍✞❍■

[الإنسان ا ُلهم من ا

يدين صانعي الانقسام

الفارغ من بة ا ،

الذين يهتمون صلحتهم الشخصية

وليس بوحدة الكنيسة،

الذين لأتفه الأسباب يمزقون ويقسمون

ا سد العظيم وا يد الذي للمسيح،

ويفنونه على قدر ما يستطيعون،

الذين يتكلمون عن السلام

ويصنعون ا روب،

الذين «يصفون عن البعوضة ويبلعون ا مل».

لأنه لا كن أن يأ منهم

أي إصلاح ذي قيمة

يوازي ا سارة الفادحة

النا ة من الانقسام.]

(ضد ا رطقات ٤:٣٣:٧)

The Great and Glorious Body of Christ

[The spiritual man] shall also judge those who give rise to schisms, who are destitute of the love of God, and who look to their own special advantage rather than to the unity of the Church; and who for trifling reasons, or any kind of reason which occurs to them, cut in pieces and divide the great and glorious body of Christ, and so far as in them lies, destroy it, men who prate of peace while they give rise to war, and do in truth "*strain out a gnat, but swallow a camel*" (Mat 23:24). For no reformation of so great importance can be effected by them, as will compensate for the mischief arising from their schism.

Against Heresies, IV, 33, 7.
ANF, I, 508.

****

ἐκ τοῦ Ἁγίου Εἰρηναίου

Ἀνακρίνει δὲ τὸ θεῖον τοὺς τὰ σχίσματα ἐργαζομένους, κενοὺς ὄντας τῆς τοῦ Θεοῦ ἀγάπης καὶ τὸ ἴδιον λυσιτελὲς σκοποῦντας, ἀλλὰ μὴ τὴν ἕνωσιν τῆς ἐκκλησίας, καὶ διὰ μικρὰς καὶ τὰς τυχούσας αἰτίας τὸ μέγα καὶ ἔνδοξον σῶμα τοῦ Χριστοῦ τέμνοντας καὶ διαιροῦντας καὶ ὅσον τὸ ἐπ᾽ αὐτοῖς ἀναιροῦντας, εἰρήνην λαλοῦντας καὶ πόλεμον ἐργαζομένους, ἀληθῶς *διϋλίζοντας τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντας·* οὐδεμία γὰρ τηλικαύτη δύναται πρὸς αὐτῶν κατόρθωσις γενέσθαι, ἡλίκη τοῦ σχίσματός ἐστιν ἡ βλάβη.

SC 100 (2), p. 816.

للقديس غريغوريوس الـ يـ ي:

لنحفظ وحدانية الروح
لأن هذا هو الأهم

■❍✞❍■

[إن كان ا سيح بدلاً من أن يبقى كرامته الإ ية ا اصة،
أخلى نفسه آخذاً صورة عبد (٢: ٧)،
وليس ذلك فقط،
بل واحتمل الصليب أيضاً مستهيناً با زي (عب١٢: ٢)،
لكي يُـبطل ا طية بآلامه،
ويميت ا وت وته (عب٢: ١٤)؛ ...
فكيف و ن تلاميذ ا سيح
الذي أخلى نفسه من أجلنا آخذاً صورة عبد،
و عنا إليه ن الغرباء عن ا ات السماوية،
كيف لا نسعى لأن نتآلف بعضنا مع بعض،
بل ونعانق بعضنا بعضاً،
لنحفظ وحدانية الروح برباط السلام (أف٤: ٣)؟
أليس هذا هو السر ا ُخفَى
الناموس والأنبياء (مت٧: ١٢، رو١٣: ٨-١٠)،
بل وأهم شيء فيهما؟!]

عظة ٤:١٢ و٢:٢٤

Let Us Maintain the Unity of the Spirit

If Christ, when it was possible for him to abide in His own honour and deity, not only so far emptied Himself as to take the form of a servant (Phil 2:7), but also endured the cross, despising the shame (Heb 12:2), that he might by His own sufferings destroy sin, and by death slay death (Heb 2:14);... how then could we, being the disciples of Christ who emptied himself for our sake, even to the form of a servant and gathered us to himself, we who are strangers to the heavenly goods, how could we not seek to be in harmony with each other, or even to embrace one another and maintain the unity of the Spirit in the bond of peace (Eph 4:3)? Isn't this the mystery hidden in the Law and the Prophets (Mat 7:12; Rom 13:8-10), and even their very core?!

Homily 12:4; 24:2.

****

ἐκ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου

Ἐπεὶ καὶ Χριστὸς οὕτως, ᾧ μένειν ἐξὸν ἐπὶ τῆς ἰδίας τιμῆς καὶ θεότητος, οὐ μόνον ἐκένωσεν ἑαυτὸν μέχρι τῆς τοῦ δούλου μορφῆς, ἀλλὰ καὶ σταυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας, ἵν᾽ ἐν τοῖς ἑαυτοῦ πάθεσιν ἀναλώσῃ τὴν ἁμαρτίαν καὶ ἀποκτείνῃ τῷ θανάτῳ τὸν θάνατον ... πῶς δὲ οὐκ ἐμέλλομεν, οἱ Χριστοῦ μαθηταί, τοῦ κενωθέντος δι᾽ ἡμᾶς μέχρι δούλου μορφῆς καὶ ξένους ὄντας τῶν οὐρανίων πρὸς ἑαυτὸν συναγαγόντος, ἀνθέξεσθαί τε καὶ περιέξεσθαι ἀλλήλων καὶ τηρήσειν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδεσμῷ τῆς εἰρήνης; ἢ νόμου καὶ προφητῶν ἐστι μυστήριον εἴτ᾽ οὖν κεφάλαιον;

SC 405, p. 356; 284, p. 42.

للقديس يوحنا ذهـ الفم:

لا ـزقوا جسد ا ـسيح

■❍✞❍■

[إن السلام خـ عظيم ـذا ا قدار
حـ أن الذين يصنعونه يدعون أبناء ا (مت٥: ٩)،
وهذا ـق، لأن ابن ا ـذه الغاية جاء إ الأرض
«ليصنع سلاماً» (أف٢: ١٥وكو١: ٢٠) بـ الأرضيـ والسمائيـ ،
ولكن إن كان صانعو السلام يدعون أبناء ا ،
فالذين ـترعون ا ـصومات يكونون أبناء إبليس...
فإن كثـ ين يسرون بالشر، و ـزقون جسد ا ـسيح بقسوة
تفوق ما فعله ا ـنود الذين طعنوه با ـربة،
واليهود الذين ـروه با ـسام .
فشر أولئك كان أهون،
لأن الأعضاء الـ مزقوها بقيت منجمعة...
والآن مـ تفكرت ـاربة أخيك،
اذكر أنك مزمع أن ـارب أعضاء ا ـسيح، وكُف عن جنونك!
إن ا من أجل أخيك صار عبداً وذُبح،
وأنت تعتـ ه كلا شيء؟!
بالتأكيد إنك تقاوم ا ،
لأنك تبدي حكماً الفاً ـكمه!]

عظة ٣ على الرسالة إ كولوسي

Don’t rend in pieces the Body of Christ

So great a good is peace, as that the makers and producers of it are called the sons of God (Matt. v. 9, Matt. v. 45), with reason; because the Son of God for this cause came upon the earth, to set at peace the things in the earth, and those in the heavens. But if the peacemakers are the sons of God, the makers of disturbance are sons of the devil. (...)

Many there are who rejoice at evil, and who do rather rend in pieces the Body of Christ, than did the soldiers pierce it with the spear, or the Jews who struck it through with the nails. A less evil was that than this, as those members, so cut through, again united. (...)

When you are minded to war against your brother, bethink you that you war against the members of Christ, and cease from your madness. (...) God for his sake even became a servant, and was slain; and do you consider him to be nothing? Surely in this respect also you fight against God, in that you deliver a judgment contrary to His.

Homily 3 On Colossians
NPNF, 1st Series, Vol. XIII, 273.

****

ἐκ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου

Τοσοῦτόν ἐστιν ἀγαθὸν ἡ εἰρήνη, ὡς υἱοὺς Θεοῦ καλεῖσθαι τοὺς αὐτῆς ποιητὰς καὶ δημιουργούς· εἰκότως· ἐπεὶ καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἐπὶ τούτῳ ἦλθεν εἰς τὴν γῆν, εἰρηνοποιήσων τὰ ἐν τῇ γῇ, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. Εἰ δὲ οἱ εἰρηνοποιοὶ υἱοὶ τοῦ Θεοῦ, οἱ νεωτεροποιοὶ υἱοὶ διαβόλου. (...) Εἰσὶ γὰρ πολλοὶ χαίροντες ἐπὶ τοῖς κακοῖς, καὶ τὸ σῶμα τοῦ Χριστοῦ διασπῶντες μᾶλλον, ἢ οἱ στρατιῶται τῇ λόγχῃ διέτεμνον, ἢ οἱ Ἰουδαῖοι τοῖς ἥλοις διέκοψαν. Ἐκεῖνο τούτου ἔλαττον τὸ κακόν· ἐκεῖνα διατμηθέντα τὰ μέλη πάλιν συνήφθη· (...) Ὅταν βούλῃ τῷ ἀδελφῷ πολεμῆσαι, ἐννόησον ὅτι τοῖς μέλεσι τοῦ Χριστοῦ πολεμεῖς, καὶ παῦσαι τῆς μανίας. (...) Ὁ Θεὸς δι᾽ αὐτὸν καὶ δοῦλος ἐγένετο, καὶ ἐσφάγη· σὺ δὲ οὐδὲν αὐτὸν εἶναι νομίζεις; Οὐκοῦν μάχῃ καὶ κατὰ τοῦτο τῷ Θεῷ, τὰς ἐναντίας αὐτῷ φέρων ψήφους.

PG 62, 322.

للقديس يوحنا ذه الفم:

الكنيسة جبلت من جنب ا سيح
كما جبلت حواء من جنب آدم

■❍✞❍■

[«**وخرج من جنبه ماء ودم**» (انظر يو١٩: ٣٤).
لا تعبر ببساطة أيها ا بيب على هذا السر،
فإن عندي كلام آخر سري أريد أن أقوله:
إن هذا ا اء والدم يرمزان إ ا عمودية و"الأسرار" (الإفخارستيا)
ومن كليهما نشأت الكنيسة
«بغسل ا يلاد الثا و ديد الروح القدس» (٣: ٥)،
با عمودية و"الأسرار" (الإفخارستيا).
لأن من جنبه خرج رمزا ا عمودية و"الأسرار"،
وقد جبلَ ا سيح الكنيسة من جنبه، كما جبلت حواء من جنب آدم.
لذلك يقول موسى معرض حديثه عن الإنسان الأول:
«هذه عظم من عظامي و م من مي» (تك٢: ٢٣)،
موجهاً أنظارنا كما لغز إ جنب السيد.
فكما أخذ ا حينذاك ضلعًا وجبله امرأة،
هكذا أعطانا من جنبه دمًا وماءً وجبلَ الكنيسة.
وكما أنه أخذ الضلع حينذاك أثناء سبات آدم، إذ كان نائماً،
هكذا الآن من بعد موت ا سيح أعطى الدم وا اء، ا اء أولاً الدم.
أعلمتم كيف اقترن ا سيح بعروسه؟
أعلمتم بأي طعام يقيتنا ن يعاً؟ بنفس الطعام ن تكوننا ونقتات]

عظات إ ا عمدين ا دد ٣: ١٧-١٩

The Church Created from the Side of Christ As Eve from the Side of Adam

There came out from His side water and blood. Beloved, do not pass this mystery by without a thought. For I have still another mystical explanation to give. I said that there was a symbol of baptism and the mysteries in that blood and water. It is from both of these that the church is sprung *through the bath of regeneration and renewal by the Holy Spirit* (Tit. 3:5), through baptism and the mysteries. But the symbols of baptism and the mysteries come from the side of Christ. It is from His side, therefore, that Christ formed His church, just as He formed Eve from the side of Adam. And so Moses, too, in his account of the first man, has Adam say: *Bone of my bone and flesh of my flesh* (Gen 2: 23), hinting to us of the Master's side. Just as at that time God took the rib of Adam and formed a woman, so Christ gave us blood and water from His side and formed the Church. Just as then He took the rib from Adam when he was in a deep sleep, so now He gave us blood and water after His death, first the water and then the blood… Have you seen how Christ unites to Himself His bride? Have you seen with what food He nurtures us all? It is by the same food that we have been formed and are fed.

Homily to the new Baptized 3, 17-19, ACW, vol. 31, p.62

****

ἐκ τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου

"*Ἐξῆλθεν ἀπὸ τῆς πλευρᾶς ὕδωρ καὶ αἷμα.*" Μὴ παραδράμῃς ἁπλῶς, ἀγαπητέ, τὸ μυστήριον. Ἔχω γὰρ καὶ ἕτερον λόγον εἰπεῖν μυστικόν· εἶπον ὅτι τοῦ βαπτίσματος σύμβολον καὶ τῶν μυστηρίων ἐστὶ τὸ αἷμα ἐκεῖνο καὶ τὸ ὕδωρ. Ἐξ ἑκατέρων τούτων ἡ ἐκκλησία γεγέννηται, "*διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου*", διὰ βαπτίσματος καὶ διὰ μυστηρίων. Τὰ δὲ σύμβολα τοῦ βαπτίσματος καὶ τῶν μυστηρίων ἀπὸ τῆς πλευρᾶς. Ἀπὸ τῆς πλευρᾶς ἄρα τὴν ἐκκλησίαν ἐδημιούργησεν ὁ Χριστός, καθάπερ ἀπὸ τῆς πλευρᾶς τοῦ Ἀδὰμ τὴν Εὔαν ἐδημιούργησε. Διὰ τοῦτο καὶ Μωϋσῆς περὶ τοῦ πρώτου ἀνθρώπου διεξιὼν λέγει· "*Ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου*", τὴν πλευρὰν ἡμῖν αἰνιττόμενος τοῦ δεσπότου. Ὥσπερ γὰρ τότε ἔλαβεν ὁ Θεὸς τὴν πλευρὰν καὶ διέπλασε γυναῖκα, οὕτως ἔδωκεν ἡμῖν αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς αὐτοῦ καὶ ἀνέπλασε τὴν ἐκκλησίαν. Ὥσπερ οὖν τότε ἐν τῇ ἐκστάσει τὴν πλευρὰν ἔλαβε, καθεύδοντος τοῦ Ἀδάμ, οὕτω καὶ νῦν μετὰ τὸν θάνατον τὸ αἷμα καὶ τὸ ὕδωρ ἔδωκεν, ἐν πρώτοις δὲ τὸ ὕδωρ εἶτα τὸ αἷμα. ... Εἴδετε πῶς συνῆψεν ἑαυτῷ τὴν νύμφην ὁ Χριστός; Εἴδετε ποίᾳ πάντας ἡμᾶς τρέφει τροφῇ; Ἐκ τῆς αὐτῆς τροφῆς καὶ συνεστήκαμεν καὶ τρεφόμεθα.

SC 50 bis, p.161-162; in TLG *Catecheses ad illuminandos* 3.17-19

الكنيسة ووحدتها (١٠)

للقديس ك لس الكب :

الإفخارستيا سر وحدة جسد ا سيح

■❍✞❍■

[إذن فقد صار لنا السر ا اصل ا سيح

مثل بداية وطريق لاشتراكنا الروح القدس ولا ادنا با ،

لأننا كلنا نتقدس فيه...

فلكي يوحدنا ابن ا بنوع ما مع ا

ومع بعضنا البعض، بل و زجنا بعضنا ببعض،

على الرغم من كوننا مفترق نفوسنا وأجسادنا

بسبب الكيان الذا لكل واحد،

قد ابتكر وسيلةً، كمته ا اصة و شورة الآب؛

فقد بارك ا ؤمن به جسد واحد هو جسده ا اص،

وذلك بالتناول السري،

وجعلهم بذلك جسداً واحداً معه ومع بعضهم البعض.

فمن يقدر أن يفصل ويفصم من هذا الا اد النافذ إ عمق الطبيعة

أولئك الذين ارتبطوا بالوحدة ا سيح

ذا ا سد ا قدس الواحد؟!

لأننا إن كنا كلنا «نشترك ا بز الواحد» (١كو١٠: ١٧)،

فإننا نكون يعاً جسداً واحداً بالتمام،

لأن ا سيح لا كن أن ينقسم!]

شرح إ يل يوحنا١٧: ٢٠و٢١

The Eucharist, Mystery of Unity of the Body of Christ

The mystery that is in Christ is become, as it were, a beginning and a way whereby we may partake of the Holy Spirit and union with God; for in Him are we all sanctified. ...

In order, then, that we ourselves also may join together, and be blended into unity with God and with each other, although through the actual difference which exists in each one of us, we have a distinct individuality of soul and body, the Only-begotten has contrived a means which His own due Wisdom and Counsel of the Father have sought out. For by one Body, that is, His own, blessing through the mystery of the Eucharist those who believe on Him, He makes us of the same Body with Himself and with each other. For who could sunder or divide from this mutual union of nature those who are knit together in union with Christ through His holy Body, Which is one? For if *we all partake of one Bread,* (1Co 10:17) we are all made one Body; for Christ cannot suffer severance.

On John 17:20-21; LFC 2, 549-550.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

Οὐκοῦν ὥσπερ τις ἀρχὴ καὶ ὁδὸς τοῦ καὶ ἡμᾶς Πνεύματός τε Ἁγίου μεταλαχεῖν καὶ τῆς πρὸς Θεὸν ἑνώσεως τὸ ἐπὶ Χριστῷ κατέστη μυστήριον· ἁγιαζόμεθα γὰρ οἱ πάντες ἐν αὐτῷ. ... Ἵνα τοίνυν εἰς ἑνότητα τὴν ὡς πρὸς Θεὸν καὶ ἀλλήλους συνίωμέν τε καὶ συναναμισγώμεθα καὶ ἡμεῖς αὐτοὶ, καίτοι τῇ καθ᾽ ἕκαστον νοουμένῃ διαφορᾷ διεστηκότες εἰς ἰδιότητα καὶ ψυχαῖς καὶ σώμασιν, ἐμηχανήσατό τινα τρόπον ὁ Μονογενὴς, διὰ τῆς αὐτῷ πρεπούσης ἐξηυρημένον σοφίας καὶ βουλῆς τοῦ Πατρός· ἑνὶ γὰρ σώματι, τῷ ἰδίῳ δηλαδὴ, τοὺς εἰς αὐτὸν πιστεύοντας εὐλογῶν διὰ τῆς μυστικῆς μεταλήψεως, ἑαυτῷ τε συσσώμους καὶ ἀλλήλοις ἀποτελεῖ. τίς γὰρ ἂν καὶ διέλοι καὶ τῆς εἰς ἀλλήλους φυσικῆς ἑνώσεως ἐξοικιεῖ τοὺς δι᾽ ἑνὸς τοῦ ἁγίου σώματος πρὸς ἑνότητα τὴν εἰς Χριστὸν ἀναδεσμουμένους; εἰ γὰρ *"οἱ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν,"* ἓν οἱ πάντες ἀποτελούμεθα σῶμα· μερίζεσθαι γὰρ οὐκ ἐνδέχεται τὸν Χριστόν.

P.G. 74, 560; Pusey 2.735.7-24

للقديس ك لس الكب :

ا سيح لا يمكن أن ينقسم بأي حال

■❍✞❍■

[يقول: « يأخذ الكاهن اليمامة و زها بظفره» (لا ٥: ٨).
- فإنه هكذا تذبح صغار الطيور -
ولكن دون أن يفصلها اماً، أي دون أن يفصل رأسها،
لأنه هكذا قد صار موت ا سيح ليس للانقسام بل للا اد.
وهكذا أيضاً ا وضع القد شريعة الفصح
وأوصى أن يذبح ا َمل قال: « بيت واحد يؤكل
ولا تخرجوا شيئاً من مه إ خارج» (خر ١٢: ٤٦).
فإن ا سيح لا كن أن ينقسم بأي حال،
ولكنه واحد بالتمام وهو كائن كل واحد و ا ميع،
«وهو سلامنا» (أف ٢: ١٤)،
لأنه معنا الوحدة بعضنا مع بعض توافق النفوس،
كما أيضاً الوحدة مع ا بواسطة نفسه الروح.
وهكذا يصر موت ا سيح سبباً للانقسام بل لا اده بنا،
ويظهر ذلك كما لغز كون الطائر يذبح
بدون أن تفصل رأسه اماً عن عموده الفقري.

وأما أن ا سيح يقدس الكنيسة بدمه ا اص
فالإشارة إ ذلك كون دم الطائر ينضح على ا يمة وما فيها].

العبادة بالروح وا ق ١٥

Christ can never be divided

He says: "*The priest shall pinch off the head from the neck, by his nail*" (cf. Lev. 5:8). For it is in this manner that small birds are slaughtered. Their heads are not cut off totally. So it is with the death of Christ. It was not a cause of division but of union.

In antiquity, when he established the rite of Passover and commanded that the lamb be slaughtered, he said: "*In **one** house shall it be eaten; you shall not carry forth any flesh outside the house*" (Ex. 12:46). For Christ can never be divided. He is one whole, both in every and in all. "*He is our peace*" (Eph. 2:14). He gathers us in union both with one another in harmony of souls and with God through himself in the Spirit. So the death of Christ is not a reason for division but for union. This is represented as a riddle, by slaughtering of the bird without totally severing its head from its back-bone.

Christ also sanctifies the Church with his own blood. This is symbolized by sprinkling the tabernacle and the things contained therein with the bird's blood.

Worship in Spirit and Truth, 15.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

"Λήψεται τοίνυν τὴν τρυγόνα, φησὶν*, ὁ ἱερεὺς, καὶ ἀποκνίσει τῷ ὄνυχι"*. Σφάζεται γὰρ οὕτω τὰ ἐλαφρὰ τῶν στρουθίων. Πλὴν, οὐκ εἰσάπαν ἀποτεμεῖ, δῆλον δὲ ὅτι τὴν κεφαλήν. Πέπρακται γὰρ οὕτως ὁ Χριστοῦ θάνατος, οὐκ εἰς μερισμὸν, ἀλλ' εἰς ἕνωσιν. Τοιγάρτοι καὶ ἐν ἀρχαῖς ἐπὶ τὸ Πάσχα τιθεὶς νόμον, καταθύεσθαι μὲν προστέταχε τὸν ἀμνὸν, πλὴν *"Ἐν οἰκίᾳ βρωθήσεται,"* φησὶ, *"μιᾷ, καὶ οὐκ ἐξοίσετε τῶν κρεῶν αὐτοῦ ἔξω."* Μεμέρισται γὰρ οὐδαμῶς ὁ Χριστὸς, ἀλλ' εἷς ὁλοκλήρως καὶ ἐν ἑκάστῳ καὶ ἐν πᾶσίν ἐστι, καὶ *αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν*, συλλέγων ἡμᾶς εἰς ἕνωσιν τήν τε πρὸς ἀλλήλους ἐν ὁμοψυχίᾳ, καὶ τὴν δι' ἑαυτοῦ πρὸς Θεὸν ἐν Πνεύματι. Ὅτι τοίνυν οὐ μερισμοῦ πρόξενος, ἀλλ' ἑνώσεως πρὸς ἡμᾶς ὁ Χριστοῦ γέγονε θάνατος, ἐδήλου πλαγίως τὸ θύεσθαι μὲν τὸ στρουθίον, οὐ μὴν καὶ εἰσάπαν ἀποκείρεσθαι τοῦ σπονδούλου τὴν κεφαλήν· ὅτι δὲ ἁγιάζει τὴν Ἐκκλησίαν τῷ ἰδίῳ αἵματι, κατασημήνειεν ἂν, τὸ τῷ αἵματι τοῦ στρουθίου καταραίνεσθαι τὴν σκηνὴν καὶ τὰ ἐν αὐτῇ.

PG 68, 972.

للقديس ك لس الكب :

الكنائس مربوطة بعضها ببعض

سب الوحدة ال ا سيح

■❍✞❍■

[فإنه يقول: «وتصنع ا سكن عشر شقق
من بوص م وم وأ ا و وأرجوان وقرمز،
س شقق تكون موصولة بعضها ببعض الواحدة بالأخرى،
و س شقق تكون موصولة الواحدة بالأخرى» (خر ٢٦: ١ و٣).
فالشقق إذاً عشرة وماسكة بعضها ببعض بإحكام
لأن هناك منازلَ كث ةً لدى الآب (يو ١٤: ٢)،
وهدف يع الساكن فيها هو - ولابد - واحد ومقدس،
لأن معرفة ا واحدةٌ هي،
لأن «ا قد دعاناً السلام» كما هو مكتوب (١كو ٧: ١٥).
فأنت ستوافق - إن تراءى لك -
بأن العشر الشقق هي، كما تتوقع، ملء الكنائس ال العا ،
ال ليست مفترقة باختلاف الرأي ولا بتعارض ا عتقد،
ولكنها متحدة الروح وكأ ا بنوعٍ ما **مربوطة معاً إ واحد**
سب الوحدة ال ا سيح بالإ ان.
فإنه يعها و كل مكان رب واحد،
إ انٌ واحد، معموديةٌ واحدةٌ (أف ٤: ٥)].

العبادة بالروح وا ق ٩

Churches are tied together according to the oneness of Christ

For he says : "*You shall make the tabernacle with ten curtains of fine twined linen and blue and purple and scarlet stuff... Five curtains shall be coupled to one another; and the other five curtains shall be coupled to one another*" (Ex. 26:1,3). The curtains are thus ten, firmly tied to each other. For there are many rooms in the Father's house (John 14:2). The aim of all who live there is certainly one and holy, since the knowledge of God is one and the same, for God has called us to peace as it is written (1Cor. 7:15).

You will then admit, once it is clear to you, that ten curtains are the fullness of churches in the whole world, as you may suppose, which do not differ in their views nor are odds in their beliefs, but are one in the Spirit. It is as if they were tied together to form one entity, like that which is in Christ, by faith. For in all churches everywhere the Lord is but one, faith is but one, baptism is but one (Eph. 4:5)

Worship in Spirit and Truth, 9.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

Ἔφη τοίνυν, ὅτι "*Καὶ τὴν σκηνὴν ποιήσεις δέκα αὐλαίας, ἐκ βύσσου κεκλωσμένης, καὶ ὑακίνθου καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου... Πέντε δὲ αὐλαῖαι ἔσονται ἐξ ἀλλήλων συνεχόμεναι, ἑτέρα ἐκ τῆς ἑτέρας, καὶ πέντε αὐλαῖαι ἔσονται συνεχόμεναι, ἑτέρᾳ τῇ ἑτέρᾳ.*" Δέκα μὲν οὖν αἱ αὐλαῖαι· καὶ ἀλλήλων ἀπρὶξ ἡμμέναι· πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατρὶ, καὶ τῶν ἐνοικούντων αὐταῖς εἷς που πάντων καὶ ὅσιος ὁ σκοπὸς, μία δὲ καὶ ἡ περὶ Θεοῦ γνῶσις. Ἐν γὰρ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ γεγραμμένον. Ἐκδέξῃ δὲ, εἰ δοκεῖ, τὰς δέκα αὐλαίας, εἶναί τε οἰήσῃ τὸ πλήρωμα τῶν εἰς κόσμον Ἐκκλησιῶν, οὐ διεσπαρμένων εἰς διχόνοιαν, ἢ εἰς ἀσύμφωνον δόξαν, ἀλλ' ἡνωμένων ἐν πνεύματι, καὶ οἱονεί πως συνεσφιγμένων εἰς ἓν καθ' ἑνότητα τὴν ἐν Χριστῷ διὰ πίστεως. Πανταχοῦ γὰρ καὶ ἐν πάσαις εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα.

PG 68, 633.

للقديس ك لس الكب :

رسالة إ يوحنا الأنطاكي عند استعادة الوحدة ب كنيسة الإسكندرية وكنيسة أنطاكيا سنة ٤٣٣م

■❍✞❍■

[لتفرح السموات ولتبتهج الأرض (مز ٩٥: ١١)،
لأن حائط السياج ا توسط قد نقض (أف ٢: ١٤)،
ومضى ا زن ورفع كل سبب للخلاف،
لأن ا سيح لصنا كلنا قد منح السلام لكنائسه ...
لأنه ا حضر إ الإسكندرية سيدي ا بوب من ا ،
أخي وشريكي ا دمة بولس
(بولس أسقف ص ا ُرسل للوساطة من قبل يوحنا الأنطاكي)،
قد امتلأنا فرحًا، - وكنّا قّ جدًا ذلك -
بسبب يء مثل ذلك الإنسان ليتوسط ...
أما عن أسباب ا لاف فمن الفضول التحدث عنها،
فإ أعت من الأنفع أن نفكر ونتحدث عن الأمور اللائقة بزمن السلام.
فقد ابتهجنا إذن قابلة ذلك الرجل ا ذكور الفائق التقوى و ا ،
الذي ر ا ظن أن أمامه جهادًا ليس بقليل
ليقنعنا بضرورة ربط الكنائس بأواصر السلام ...
غ أنه قد وجدنا مستعدين لذلك
ح إنه يبذل سبيل ذلك أي جهد على الإطلاق...
فإننا تعلّمنا أن نقول صلواتنا:
«أيها الرب إ نا أعطنا سلامك لأن كل شيء أعطيتنا» ...
والآن قد تيقنا ا مًا أن ا لاف ا اصل ب الكنائس
كان بدون أي م ر على الإطلاق و يكن مناسبًا،
وذلك ا قدم سيدي الأسقف التقي بولس بيانًا
وي اعترافاً بالإ ان لا يشوبه عيب]. **الرسالة ٣٩**

The Letter of St Cyril to John of Antioch, at the Union of their Churches, A.D. 433

"*Let the heavens rejoice, and let the earth be glad*" for the middle wall of partition has been taken away, and grief has been silenced, and all kind of difference of opinion has been removed; Christ the Saviour of us all having awarded peace to his churches. ... For when my lord, my most-beloved-of-God, fellow-minister and brother Paul, had arrived in Alexandria, we were filled with gladness, and most naturally at the coming of such a man as a mediator. ... Of the reason of the disagreement it is superfluous to speak. I deem it more useful both to think and speak of things suitable to the time of peace. We were therefore delighted at meeting with that distinguished and most pious man, who expected perhaps to have no small struggle, persuading us that it is necessary to form an alliance for the peace of the Church, ... He found us ready for this, so as absolutely to need no labour to be bestowed upon us. For we have been taught to say in prayers: "O Lord our God give us peace, for thou hast given us all things." ... That as a matter of fact, the disagreement of the Churches happened altogether unnecessarily and inopportunely, we now have been fully satisfied by the document brought by my lord, the most pious bishop Paul, which contains an unimpeachable confession of faith.

Letter 39; FC 76, 147-148; NPNF, 2nd Ser., Vol. 14, p.251.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

"*Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ*"· λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ καὶ πέπαυται τὸ λυποῦν καὶ διχονοίας ἁπάσης ἀνῄρηται τρόπος, τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύοντος. ... Ἀφικομένου τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τοῦ κυρίου μου τοῦ θεοσεβεστάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ Παύλου, θυμηδίας ἐμπεπλήσμεθα καὶ σφόδρα εἰκότως, ὡς ἀνδρὸς τοιούτου μεσιτεύοντος ... τίνα μὲν γὰρ διῄρηνται τρόπον, περιττὸν εἰπεῖν· χρῆναι δὲ μᾶλλον ὑπολαμβάνω τὰ τῷ τῆς εἰρήνης πρέποντα καιρῷ καὶ φρονεῖν καὶ λαλεῖν. ἥσθημεν τοίνυν ἐπὶ τῇ συντυχίᾳ τοῦ μνημονευθέντος θεοσεβεστάτου ἀνδρός, ὃς τάχα που καὶ ἀγῶνας ἕξειν οὐ μικροὺς ὑπενόησεν ἀναπείθων ἡμᾶς ὅτι χρὴ συνάψαι πρὸς εἰρήνην τὰς ἐκκλησίας ... ἑτοίμως δὲ οὕτως ἔχοντας εἰς τοῦτο κατέλαβεν, ὡς μηδένα πόνον ὑποστῆναι παντελῶς· ... δεδιδάγμεθα δὲ καὶ λέγειν ἐν προσευχαῖς "*κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν*". ... ὅτι δὲ περιττὴ παντελῶς καὶ οὐκ εὐάφορμος τῶν ἐκκλησιῶν ἡ διχοστασία γέγονεν, νυνὶ μάλιστα πεπληροφορήμεθα, τοῦ κυρίου μου τοῦ θεοσεβεστάτου Παύλου τοῦ ἐπισκόπου χάρτην προκομίσαντος ἀδιάβλητον ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν.

PG 77, 173-176; ACO 1,1,4.15.24.

للقديس ك لس الكب :

وحدة البشرية ا سيح

■❍✞❍■

[كيف ينبغي أن نفهم القول القائل:

«كما أننا ن واحد ليكونوا هم أيضاً واحداً فينا.

أنا فيهم وأنت ليكونوا مكمل إ واحد» (يو ١٧: ٢١ و٢٣)؟

ا أراد كلمة ا أن يقدم نس البشر عطية عظمى وفائقة الطبيعة،

أخذ تذب ا ميع إ نوع من الا اد بنفسه؛

فقد لبس ا سد البشري وبذلك صار داخلنا،

ومن جهة أخرى فهو له الآب ذاته

لكونه كلمته ا اص وشعاعه.

فكأنه يقول: كما أ أنا فيهم

بسبب لبسي نفس ا سد الذي م،

وأنت أيها الآب بسبب كو من جوهرك ا اص،

هكذا أريد أ م هم أيضًا يرتبطون بنوعٍ من الا اد،

ح يص وا متداخل بعضهم بعض

وكأ م صاروا جسدًا واحدًا،

فيكونون يعًا ، وكأ أ لهم يعًا

هيكل (جسدي) الوحيد الذي ا ذته لنفسي.

وهكذا يكونون ويظهرون مكمل .

لأ أنا الكامل وقد صرت إنسانًا].

The Unity of All Mankind

How are we supposed to understand the saying which is: *"As You and I are one, that even they may be one, I in them and Thou in Me, that they may become perfectly one"* (Cf. John 17:22-23)?

As it is the will of the Word of God to bestow upon mankind a most great and supernal grace, He draws each and every one into a union with Himself. Since He has borne a human body He has come to be in us, but on the other hand, He has the Father in Himself, being His Word and His Effulgence. He says, then, "As I am in them, because I have put on the self-same body as theirs, and as You, Father, are in Me, because I am of Your self-same essence, so I want that they also may be blended with one another, bound together in a sort of unity, and they, having become as one body, should all be in Me, the bearer of them all in the one and only Temple which I have assumed, and so that they may both be and appear as perfected. For I am perfect, even having become a man.

Thesaurus 12

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

Πῶς προσήκει νοεῖν τὸ ῥητὸν, τουτέστιν, *"Ἵνα ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἕν ὦσιν· ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν"*;

Μεγάλην τινὰ καὶ ὑπερφυῆ τῷ γένει τῶν ἀνθρώπων καταθέσθαι χάριν βουλόμενος ὁ τοῦ Θεοῦ Λόγος, ἕλκει σύμπαντας ὡς πρὸς ἑνότητα τὴν πρὸς ἑαυτόν. Φορέσας μὲν γὰρ τὸ σῶμα τὸ ἀνθρώπινον, γέγονεν ἐν ἡμῖν. Ἔχει δὲ ἐν ἑαυτῷ τὸν Πατέρα, ὡς Λόγος αὐτοῦ καὶ ἀπαύγασμα. Ὥσπερ οὖν, φησὶν, ἐγώ εἰμι ἐν αὐτοῖς, διὰ τὸ τὴν αὐτὴν αὐτοῖς φορέσαι σάρκα, καὶ σὺ, Πάτερ, ἐν ἐμοὶ, διὰ τὸ εἶναί με τῆς σῆς οὐσίας τὸ ἴδιον, οὕτω βούλομαι ἵνα καὶ αὐτοὶ εἰς ἑνότητά τινα συναφθέντες ἀλλήλοις ἀνακραθῶσι, καὶ ὥσπερ ἓν σῶμα γενόμενοι ἐν ἐμοὶ πάντες ὦσιν ὡς πάντας φοροῦντι διὰ τοῦ ἑνὸς ἀναληφθέντος ναοῦ, οὕτω τε εἶεν καὶ φαίνοιντο τετελειωμένοι. Καὶ γὰρ ἐγὼ τέλειός εἰμι καὶ ἄνθρωπος γεγονώς.

PG 75, 204.

للقديس كـ لس الكبـ :

الوحدة الروحية

■❍✞❍■

[إنه يقول: «أيها الآب القدوس احفظهم ا لك الذي أعطيته
ليكونوا واحداً كما ن واحد» (يو ١٧: ١١).
إنه يريد أن يكون التلاميذ فوظ وحدة ا س والرأي
وكأ م قد انصهروا معاً بالنفس والروح
بواسطة السلام وا ودة ا تبادلة
ح تنعقد بينهم ربط ا بة ال لا تنحل،
فترتقي الوحدة الكائنة بينهم إ أن يصـ توافقهم الاختياري
صورةً لتلك الوحدة الطبيعية الكائنة بـ الآب والابن،
فلا يستطيع شيء ما من كل ما العا ولا من الشهوات
أن يضع حدوداً ذا التوافق
ولا أن يفصمه إ مشيئات متضاربة،
بل تبقى با ري قوة بتهم
فوظة بلا عيب وحدانية التقوى والقداسة،
الأمر الذي قد قق بالفعل: فإننا نقرأ أعمال الرسل أنه:
«كان مهور الذين آمنوا
قلب واحد ونفس واحدة» (أع ٤: ٣٢)،
وحدانية الروح القدس].

تفسـ إ يل يوحنا ١٧: ١١

The Spiritual Unity

He says: *"Holy Father, keep them in Thy name, which Thou hast given Me; that they may be one, even as we are"* (John 17:11). He wishes indeed the disciples to be kept in unity of mind and purpose, being blended, as it were, with one another in soul and spirit and the bond of peace and brotherly love; and to be linked together in an unbroken chain of affection, so that their unity may be so far perfected as that their elective affinity may resemble the natural unity which exists between the Father and the Son; and, remaining undebased and invincible may not be distorted by anything whatever that exists in the world, or by the lusts of the flesh, into dissimilarity of purpose; but rather preserving in the unity of true piety and holiness the power of love intact, which also came to pass. For, as we read in the Acts of the Apostles, "*the multitude of them that believed were of one heart and soul"* (Acts 4:32), in the unity that is of the Spirit.

On John 17:11; LFC 2, 514.

****

ἐκ τοῦ ἁγίου Κυρίλλου

"Πάτερ τοίνυν φησὶν *ἅγιε τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς"*. ... Τηρεῖσθαι γεμὴν ἐν τῇ καθ' ὁμόνοιάν τε καὶ ταυτοβουλίαν ἑνώσει βούλεται τοὺς μαθητὰς ἀνακιρναμένους ὥσπερ ἀλλήλοις ψυχῇ καὶ πνεύματι καὶ τῷ τῆς εἰρήνης καὶ φιλαλληλίας θεσμῷ, πρὸς ἀῤῥαγῆ τινα τῆς ἀγάπης δεσμὸν κατασφίγγεσθαι, ὡς μέχρι τοσούτου προελθεῖν τὴν ἕνωσιν, ὥστε καὶ εἰκόνα τῆς φυσικῆς ἑνότητος, τῆς ἐν Πατρὶ καὶ Υἱῷ νοουμένης, τὴν προαιρετικὴν γενέσθαι συνάφειαν, ἀδιάσπαστον δηλονότι καὶ ἀκατάσχετον, ὑπὸ μηδενὸς τὸ σύμπαν τῶν ἐν τῷ κόσμῳ πραγμάτων, ἤτοι φιληδονιῶν, εἰς ἀνομοιότητα θελημάτων ἐξελκομένην, διασώζουσαν δὲ μᾶλλον ἐν ἑνότητι τῇ κατ' εὐσέβειαν καὶ ἁγιασμὸν, ἀσινῆ τῆς ἀγάπης τὴν δύναμιν, ὃ καὶ γενέσθαι συμβέβηκεν. ὡς γὰρ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἀνέγνωμεν *"Τοῦ πλήθους τῶν πιστευόντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία,"* ἐν ἑνώσει δηλονότι τῇ τοῦ Πνεύματος.

PG 74, 516-517; Pusey 2.696-698.

للقديس ك لس الكب :

ا سيح هو رباط الوحدة

■❍✞❍■

[إن كنا " يعنا نشترك ا بز الواحد" (١كو١٠: ١٧)،
فنحن كلنا نص جسداً واحداً، لأن ا سيح لا كن أن ينقسم.
من أجل ذلك تدعى الكنيسة جسد ا سيح
و ن نكون أعضاءه، سب دراية القديس بولس (أف٣: ٤).
فلأننا كلنا متحدون با سيح الواحد سده ا قدس،
الذي نتناوله أجسادنا ا اصة، وهو واحد وغ قابل للانقسام،
تكون بالتا أعضاؤنا له أكثر ا هي لنا! ...
والقديس بولس يشهد أننا ن الذين نشترك جسده ا قدس،
ننال الوحدة سب هذا ا سد، أع الوحدة ا سيح،
إذ يقول عن سر التقوى: «الذي أجيال أُخر يعرف به بنو البشر،
كما استعلن الآن لرسله القديس ولأنبيائه الروح؛
أن الأمم شركاء ا اث و ا سد
و نوال ا وعد ا سيح» (أف ٣: ٥-٦).
فإن كنا كلنا شركاءَ ا سد، بعضنا مع بعض ا سيح،
